# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vjk-ai

*Ἱππιατρικὰ τὰ ἀνώνυμα* · Hippiatric Compilation Anonymous

# Paris Veterinary Works

*Κτηνιατρικὰ Παρισίων*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

2 Ἄλλο 〈πρὸς πυρετόν〉. Καστορίου ? α′ καὶ ὄξους ∞ γ′, ῥόδων γο ϛ′, πήγανον τὸ ἀρκοῦν. Ἄλλος ἐγχυματισμὸς πρὸς μᾶλι ν .

15 Τραγακάνθης γο β′, ὀποπάνακος γο α c ′, ἐλαίου 〈γο〉 ὄγδοον, οἴνου ὄγδοον. ταῦτα εἰς ἡμέρας γ′ ἀρκεῖ τοῦ ζῴου τῇ κεφαλῇ. ὁσάκις δὲ διδοῖς, * ἐπίχεε. ὀξυγγίῳ δὲ καταπλάσσῃς τοὺς πόδας παλαιῷ, μετὰ δὲ ἡμέρας γ′ διακινήσῃς ὀλίγῃ γυμνασίᾳ, ἐὰν μὴ ὀρέγηται τὴν τροφήν. Ἄλλος ἐγχυματισμὸς πρὸς τὸ αὐτ ό .

16 Τρωγλῖτιν, ὀμφάκινον ἔλαιον, οἶνον παλαιόν, ταῦτα εἰς ἓν ταράξεις, ἵνα γένηται ξέστης Ἰταλικός. ἐγχυματίζεται δὲ διὰ τοῦ στόματος. ἐὰν ᾖ χειμών, εἰς θερμὸν οἶκον ἱστᾶν αὐτὸν περιβεβλημένον, καὶ πῦρ τιθέσθω χωρὶς καπνοῦ. ὁ δὲ οἶκος β′ θυρίδας ἐχέτω ἀπέναντι ἀλλήλων, ἵνα δόσιν καὶ λῆψιν ἔχῃ ἡ διαπνέουσα δριμύτης καὶ μὴ 〈ᾖ〉 καταμένουσα ἐν τῷ οἰκήματι, σφηνοῖ γὰρ τὸ κτῆνος· δεῖ γὰρ αὐτὸ ἀπὸ τοῦ ἀέρος ἄνεμον ἕλκειν. ἐὰν δὲ θέρος ᾖ, μοναχὸν αὐτὸν ἱστᾶν ἐν οἰκήματι χωρὶς περιβολαίου θυρίδας ἔχοντι ὡς πλείονας. Φυλακτήριον πρὸς μᾶλιν παρὰ τοῦ φιλοσόφο υ .

17 Μύρμηξ ψοφε ῖ , πέλωρος κεφαλὴν οὐκ ἔχε ι . ἔλαφον πιάσας ἀμέλξ ω . μυσίαν μαλαιτάτην καὶ ἀμαλαβανδα πιούρου ναζήλα ἀμελχανα βατεμαν α , τεκουπατο υ , ἰαβραξ · γράψας ἐν χάρτῃ καθαρῷ ἢ κασσιτερίνῳ περίαπτε. Ἐπαοιδὴ πρὸς μᾶλιν κτηνῶ ν .

19 Μᾶλι ἀρθρῖ τ ’ ἀρθριτικ ή , κωφ ή , Ἑλληνικ ή , δειρ ά , ξηρ ά , κυνικ ή , ἀπουρητικ ή , ταυρικ ή , οὐ μή μου περιγέν ῃ , ἐπαΐζω σε. Πρὸς πᾶσαν μᾶλι ν .

20 Μὴ ῥήξῃς τὸ κτῆνος τοῦτ ο , σαρρ α , μάρρ α , καμέτριξ Λύχνον τὸ λεγόμενον μελάμπυρον ἀλήσας καὶ καθαρῷ κοσκίνῳ σήσας κοχλιάρια γ′, εἰς ὕδωρ εἰς σκεῦος χαλκοῦν βαλὼν τῇ ἑξῆς δίδου διὰ ῥινῶν. Ἄλλ ο .

21 Ἐν περιάπτῳ ἵππου προκατηρτικότος ἢ πρωτοβόλου ἤτοι ἀβόλου, 〈οὗ〉 ὄνομα τόδε 〈καὶ ἥδε〉 χρόα τῆς μάλεως· ἀρθρῖτι ς , ἀρθριτικ ή , οὐ μὴ αὐτοῦ περιγενήσεσθ ε , σαρραμαρρα καμετριξ γράφων ἐν χάρτῃ περίαπτε εἰς τὸ κάπιστρο ν . Ποτὸν πρὸς μᾶλι ν .

22 Βικίο υ , φασουλίο υ , τήλεως, φάβατος, μυάγρου, σεμιδάλεως, βρόμου, ζειᾶς, τίφης, κριθῶν, κέγχρου, τὸ ἴσον ἐκ πάντων, τοῦ δὲ ὀρόβου τὸ c ′ ἀλέσας λεπτὸν καὶ σήσας καὶ φυράσας, ὥστε ζύμην γενέσθαι [μετὰ βρώμου] πότιζε ἕκαστον ἵππον χοίνικα Ταουιανὴν ἐπὶ ἡμέρας ιε′ ἢ ἑβδομάδας τρεῖς ἐγχυματίζων. ἢ προσφυσῶν λέγε· φεῦγε οὖ ν , κακὴ μᾶλ ι , διώκει σε Ποσειδῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ν , καὶ ταῦτα· τρὶς ἑπτὰ θαλάσσια ζῷ α , ζ′ ἄρκο ι , ἑπτὰ λέοντε ς , ἑπτὰ δελφῖνοι ἐδίωκον τὴν ἀγρίαν μᾶλι ν . Πρὸς μᾶλιν σπουδαῖο ν .

23 Βάρβαρο ς , βαρβαρίζουσ α , ζαβαχωρ α , βαρβαρων πυρ ι , πυριτουμόλ ε , σῷζε τὸν φοροῦντ α , γράψας ἐν χάρτῃ περίαπτε. Ἄλλ ο .

24 Γράψας [καὶ] περίαπτε· μορουατο εὐπρεπέστατ ε , ῥορουαδαμανευβρεατι καὶ τεμεστανα μαλχ α , μαδαδ α , πτουτιαμη ν , χουστι καὶ τιατε μ . Ἄλλ ο .

25 Αμιλιχαμουρουατοσακμαδαν εὐπρεπέστατε δαπουν η , βαθυαρουαζεμαντεστιν εὐπρεπε καὶ σεμναλεου θ . Ἄλλ ο .

26 Ὁ υιου ατοιουρουανα καὶ τῶν εὐπρεταβενε μάλχα πιουνιβα καὶ ἀχιματατι α . Εὐμήλου πρὸς δύσπνοιαν ἤτοι μᾶλι ν .

29 Δύσπνοια ζῴοις πάθος ἐπικινδυνότατον. τοῦτο πολλοὶ μᾶλιν ὀνομάζουσιν, ὅπερ Ἕλληνές τε καὶ Ῥωμαῖοι διεῖλον οὕτως· ἀρθρῖτιν ξηρὰν ὑγρὰν λευκὴν μέλαιναν. τῆς τοιαύτης οὖν νόσου σημεῖα τάδε· τῷ παντὶ σώματι συμπίπτει, διὰ τῶν μυκτήρων ἰχῶρα 〈φέρει〉 , πίνει πολὺ ὕδωρ, βήσσει σκληρῶς, πταίρεται συνεχῶς, χωλαίνει καθ’ ἕκαστον πόδα, τὰ ὦτα πιτυριᾷ καὶ ἐπινενευκότα αὐτὰ φέρει, τὸ δέρμα αὐτοῦ σκληρὸν καὶ ἄγριον. τοῦτο τοίνυν συμβαίνει, ὁπηνίκα διὰ τῆς τοῦ πάθους ὠμότητος ἀποκλειομένων τῶν ἀρτηριῶν καὶ τραυματιζομένων λοιπὸν τὸ κατὰ φύσιν ἐπὶ τὸν πνεύμονα μὴ παραγίνεται πνεῦμα. χρὴ τοίνυν κεχρῆσθαι θεραπείᾳ τοιαύτῃ· αἷμα ἐκ τοῦ σφονδύλου καὶ τῶν σκελῶν λάμβανε, μίσγε τοῦτο οἴνῳ καὶ ἐλαίῳ καὶ τὸ σύμπαν ἀπότριβε σῶμα. εἶτα τραγακάνθου, σμύρνης καὶ λιβάνου ἀνὰ ὀβολοὺς β′, μῖξον τὸ λευκὸν τοῦ ᾠοῦ καὶ προσθεὶς μελίκρατον διὰ τοῦ στόματος ἔγχεε. τὴν δὲ τροφὴν ἐχέτω χλωράν, ἢ πάλιν Μηδικὴν οἰνελαίῳ ῥαντισθεῖσαν, κριθάς τε ὠπτημένας ἀλεύρου ὀροβίνου καὶ φάβατος μιγνυμένων. ἢ ἀλεκτρυόνος σφαγέντος, τούτου τὰ ἔντερα καθαίρεται καὶ εἰς ὕδωρ ἄχρι ἡμισείας ἕψονται, καὶ προσβληθέντος νίτρου καὶ ὑοσκυάμου ἀναλόγως καὶ θείου ἀπύρου < α′ πάντα οἴνῳ μιγέντα δίδονται διὰ στόματος ἐπὶ ἡμέρας γ′. τινὲς δὲ καὶ ὀστέον κεφαλῆς κυνὸς λοιπὸν εὔθρυπτον λαβόντες καὶ σκίλλαν λευκὴν καλάμῳ κεκομμένην εἰς φοῦρνον ἐν ταὐτῷ κατοπτοῦσιν. ἅπερ λειώσαντες μετὰ οἴνου κοτυλῶν ε′ Κορινθίου καὶ ἐλαίου Ἀττικοῦ κοτυλῶν γ′ καὶ πεπέρεως λευκοῦ γο α′ διηθήσαντες ἅπαντα ∞ α′ διὰ τοῦ δεξιοῦ μυκτῆρος ἐκχέουσιν. Ἄλλο εἰς δύσπνοια ν .

30 Δύσπνοια ἡ ὑπὸ Ἑλλήνων ὀρθόπνοια ὀνομαζομένη γνωρίζεται, ὁπηνίκα τοὺς μυκτῆρας ὀρθοὺς ἔχει πῦά τε δι’ αὐτῶν φέρει καὶ τὰς λαγόνας ἕλκεται, τοὺς ὀφθαλμοὺς ἀφεστῶτας ἔχει. θεραπεύσεις οὖν οὕτως· αἷμα τοῦ σφονδύλου λάμβανε τοῦτό τε ὄξει καὶ ἐλαίῳ μίξας τὸ ζῷον ἀπότριβε. τροφῆς, καθ’ ὅσον ἐγχωρεῖ, ἀπεχέσθω, ἢ πάλιν τούτοις κεχρήσθω τοῖς θερμαίνειν δυναμένοις, τοῦτ’ ἔστιν ὀρόβοις, ἐρεβίνθοις, ἀλεύρῳ σιτίνῳ, τῷ δὲ θέρει κριθίνῳ. γιγνέσθω δὲ ἐγχυματισμὸς τοιόσδε· τραγακάνθης, ἕψημα, θέαφον, μίξας δὲ καὶ κυμίνου Αἰθιοπικοῦ ὅσον τρισὶν δακτύλοις λαβεῖν δυνηθῇς, οἴνῳ σύμπαντα μίξας δίδου ἐπὶ ἡμέρας ιβ′ ἢ καὶ κ′ ἢ καὶ πλεῖον, μέχρις οὗ ὁ πνεύμων θεραπευθῇ. ἐὰν οὖν τὸ τοιοῦτο μὴ συμβάληται, ῥίζαν ἐλλεβόρου λίθῳ περιορυγεῖσαν εἰς τὸ στῆθος προσάγαγε ἢ εἰς τὰ τῶν ὤτων ἢ τῶν μυκτήρων ἄκρα, δι’ ὧν τὸ πᾶν νόσημα διαφορηθήσεται. παστίλλους δὲ δι’ ὑδρομέλιτος δίδου κατασκευασθέντας ἐξ ἀγρίου σικύου ῥίζης καὶ βοτάνης προσωπίτιδος καὶ κενταυρίου καὶ ἀμυγδάλων πικρῶν μέλιτι ἀληλιμμένων, οὕσπερ προκατασκευάσας εἰς ταύτην φύλαττε τὴν χρῆσιν. ἢ ῥίζης μόρου λελειωμένης ὀβολοὺς β′ εἰς οἶνον θερμὸν βαλὼν διὰ τῶν μυκτήρων ἔγχεε. τὸν μέντοι ὀρθοπνοϊκὸν πρότερον γάρου κύαθον α′, ἐλαίου κυάθους β′, οἴνου κυάθους β′ 〈μίξασ〉 τὴν κεφαλὴν κάθαιρε. οἷσπερ εἰ μὴ ὑπακούσει τὸ πάθος, ἀθεράπευτον ὑπάρχει τὸ νόσημα. ἐὰν δὲ διὰ μυκτήρων πῦα φέρῃ, λιβάνου ἄρρενος γο α′ μετ’ οἴνου κοτύλης α′ Ἀττικῆς λείωσον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θερμάνας διὰ ἀμφοτέρων τῶν μυκτήρων ἔμβαλλε, δάφνης τε φύλλοις τὰς ῥῖνας θυμία. εἰ δὲ διὰ τοῦ μορίου ἀφῇ πῦον, ἀλεκτρυόνα καθεψήσας καὶ τὸ τούτου ὕδωρ διηθήσας πρόσβαλλε θεάφου λελειωμένου < μίαν καὶ διὰ τοῦ στόματος ἔγχει ἐπὶ ἡμέρας συναπτὰς θʹ. πρὸς ἀρχὴν δὲ ὀρθοπνοίας χρήσῃ τούτῳ· σκώληκας σιτιστοὺς ἀπὸ ἀρτοκοπίου λειώσας ἀριθμῷ ζʹ καὶ οἴνου κυάθους ζʹ καὶ ἐλαίου κυάθους βʹ, ἐν ταὐτῷ σύμπαντα μίξας καὶ χλιάνας διὰ μυκτήρων δίδου. Τροχίσκος πρὸς ταῦτα τὰ κτήνη προληπτικὸς μάλεως πάσης · τρὶς ἐγχυμάτισον μίαν παρὰ μίαν καὶ περιγίνῃ θαυμαστῶς.

38 Πετροσελίνου γο ϛʹ, κρόκου γο αʹ, σμύρνης γο βʹ, ἀβροτόνου γο δʹ, ὀριγάνου γο βʹ, ἐλέφαντος ῥίνισμα γο γʹ ἀναλάμβανε ὄξει δριμυτάτῳ καὶ ποίει τροχίσκους ἄγοντας < αʹ καὶ δίδου 〈ἐν〉 οἴνου λευκοῦ Ἰταλικῷ ∞ αʹ τροχίσκον αʹ πώλῳ, τελείῳ βʹ. ψῦχε ἐν σκιᾷ· ἄκρως βοηθεῖ, δεδοκίμασται. Ξηρίον ἕτερο ν .

47 Εἰ ἄρξηται ἵππος λεληθότως χωλαίνειν καὶ οἱ τούτου πόδες φλεγμαίνωσιν, ὅπερ ἐστὶν ἐπικίνδυνον, ποιήσεις τοῦτο· ἀφαιμάξῃς αὐτὸν τὸν ἵππον ἐξ ἑκατέρων τῶν μερῶν τοῦ τένοντος αὐτοῦ εἰς τοσοῦτον, ὥστε αὐτὸν ἀτονῆσαι, καὶ μετὰ ταῦτα στρύχνον μετὰ μέλιτος καὶ ὕδατος ὀμβρίου δίδου, ἕως δ᾿ ἂν ὑγιάνῃ. Ἰσχυρὸν βοήθημα ἰσχυρῶς βοηθοῦ ν .

54 Ἰσχυρὸν βοήθημα τῇ πείρᾳ μεμαθήκαμεν τὸ διὰ τῆς ῥαφανίδος οὕτω ἐπικαλουμένης, ἣν ποιμένες Ῥωμαϊκῇ γλώττῃ * ἐπικαλοῦσιν, ἐλλεβόρου μέλανος ῥίζαν. αὕτη ἡ βοτάνη τίκτεται παρὰ Μαυρουσίοις πολλή, καὶ πᾶσι ζῴοις συμβαλλομένη τῇ ἀριστερᾷ χειρὶ πρὸ ἀνατολῆς ἡλίου διορύττεται καὶ ἀνασπᾶται. καὶ γὰρ οὕτως συναγομένη μείζονα δοκεῖ ἐνέργειαν ἔχειν. χαλκῷ τοίνυν φιβλίῳ τὸ ἔνδον μέρος καὶ τὸ ἔξωθεν τοῦ ὠτίου τοῦ ζῴου περιχάραττε εἰς τύπον τοῦ γράμματος τοῦ ο [ν], ἔπειτα τὸ μέσον τοῦ κύκλου τῷ αὐτῷ φιβλίῳ τιτρᾶται καὶ ἐμβάλλεται εἰς τὴν αὐτὴν ὀπὴν ἡ ῥίζα τῆς προλεχθείσης βοτάνης ἐσφιγμένη πρὸς τὸ μὴ ἐκπεσεῖν αὐτήν. κἀκεῖθεν διὰ τοῦ αὐτοῦ ὠτίου πᾶς ὁ λοιμὸς διαφορεῖται, ἕως ἂν τὸ μέρος τοῦ περιχαράγματος 〈τοῦ〉 ὠτίου διαφθαρὲν ἐκπέσῃ. Κορνήλιος δὲ Κέλσος τῆς αὐτῆς βοτάνης καὶ φύλλα μετ᾿ οἴνου λειωθέντα 〈διὰ〉 τῶν ῥινῶν ἐγχέειν ἐπιτρέπει. τοῦτο δὲ ὀφείλει γενέσθαι, εἰ ὅλη ἡ ποίμνη [ἤτοι ἀγέλη] κάμνει. εἰ δ᾿ οὖν, τὸ ἐπάνω βοήθημα ἀρκέσει. Ἕτερον πρὸς αὐτ ό .

56 Εἰ δὲ αὐτὰ τὰ ἄρθρα ἀποσκληρύνεται, γίνωσκε τὸ ζῷον ὅτι ἐλεφαντιᾷ καὶ λοιμῷ κάμνει, ὅπερ θεραπεύσεις οὕτως· ἀφαιμάξας αὐτὸν ἐκ τῶν φλεγμαινόντων μερῶν ἐγχυμάτισον σκῦλον μικρὸν μετὰ πτισανῶν ἐπὶ ἡμέρας γʹ. μετὰ 〈δὲ ταῦτα〉 ἀφαίμαξον ἐκ τῆς μήτρας καὶ ἐγχυμάτισον μετὰ χυλοῦ τήλεως, καὶ πάλιν ἀφαιμάξεις αὐτὸν ἐκ τῶν ἄρθρων ὁμοίως, καὶ μετὰ ταύτην τὴν περιοδίαν προπότισον. Ἄλλο 〈πρὸς δυσουρίαν〉 .

62 Γράφε καὶ περίαπτε θεοῦ ἐπίκλησιν ἐπικαλούμενος βαρναβαὰθ θ θ καὶ σεχθαβαγγγγ α . ἐπικαλοῦμαι καὶ θεὸν Ἀβραὰμ μμ μ . λῦσον φλέβας σὺν δυσουρίᾳ καὶ ῥεῦσον ὡς ὁ Νεῖλος ποταμὸς ὑπὸ μηδενὸς κατεχόμενο ς . Πρὸς στραγγουρία ν .

63 Ἀπιουσῆμε ν , ὅ ἐστι σέλινον, γο βʹ, σαρξιφαγοῦς γο βʹ, ἀροβαρώσου ὀποπάνακος γο βʹ, Συριακῆς γο γʹ, γεντιανῆς γο γʹ, ῥύτης γο βʹ, κροκομάγματος γο αʹ, σμύρνης γο βʹ, πεπέρεως λευκοῦ κόκκους κʹ. Ἄλλο 〈πρὸς κόπον〉 .

75 Κτῆνος ἐὰν κάμνον κοπιᾷ, ῥίζης λευκάνθης γο ϛʹ, ἀμπέλου λευκῆς ῥίζης γο ϛʹ, πλατάνου ῥίζης γο ϛʹ, ἀνήσου γο ϛʹ, σελινοσπέρμου γο ϛʹ, ταῦτα πάντα εἰς ὅλμον συντρίψεις καὶ ὑποστάθμῃ ἐλαίου ? γʹ, ὄξους ∞ γʹ, ἐκεῖθεν τὸ κτῆνος συγχρίσεις. Θεομνήστου πρὸς τὸ αὐτ ό .

76 Τούτους οἴνῳ καὶ μέλιτι ἐγχυμάτιζε ἴσοις χωρὶς φαρμάκου· ἐὰν δὲ τὰς λαγόνας ὑπὸ τῆς στενοχωρίας τοῦ πνεύματος ὀγκωθῇ, οἶνον μὴ δός, ἀλλὰ κρόκου τριώβολον μετὰ ὕδατος διὰ τῆς ἀριστερᾶς ῥινὸς ἐγχυμάτιζε. Πελαγωνίου πρὸς αὐτ ό .

78

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χρὴ τοῦτον ἀφαιμάξαι ἐκ τῶν βραχιόνων καὶ αὐτῷ τῷ αἵματι προσμῖξαι ἔλαιον μετὰ οἴνου. ὅθεν πᾶν τὸ σῶμα συμβάλλεται ἀποχρίεσθαι. δώσεις δὲ ποτὸν οἰνελαίῳ ἐμβάλας κόνιν τὴν λεγομένην κουδριγαρίαν. Ἱπποκράτους πρὸς τοὺς ἰσχναινομένου ς .

90 Ἐὰν ἵππος ἰσχνὸς ᾖ καὶ κάμῃ ἀποτιθεὶς τὸ σῶμα, λαβὼν ἄλλην τροφὴν δίδου ῥάνας οἴνῳ ὀρόβους τεθραυσμένους. δίδου 〈δὲ〉 καὶ βίκου τροφὴν καθ’ ἡμέραν ὅσον ∞ α′ καὶ τὰς κριθὰς πεφρυγμένας ὅσον ∞ γ′, καὶ ἔσται εὔρωστος καὶ παχύς. ἢ σῖτον πεφρυγμένον ὅσον χοίνικα ῥᾶνον ἅλμην καὶ δίδου καθ’ ἡμέραν μάζας. δίδου δὲ καὶ ψωμίσματα μετὰ ὀξυγγίου καὶ μέλιτος καὶ κριθίνου ἀλεύρου καὶ ὀρόβων λεπτῶν ἀναρρεραμμένων. Περὶ παρισθμίω ν . [5]

116 Ἐὰν παρίσθμια γένηται, τὴν φλεγμονὴν περὶ τὰ ὦτα σχήσει. οὕτως θεραπευθήσεται· ζεστῷ ὕδατι τὸν τόπον ἀντλήσεις καὶ καταπλάσ[σ]εις διὰ κριθίνης. καὶ ἐὰν συστῇ ἐν τόπῳ, ἀνοίξεις σμίλῃ καὶ προσκέψῃ ἐπιμελῶς. ἐὰν δὲ μὴ ὑπακούσῃ, καυτηριάσας ἐπιμελήσῃ. Πελαγωνίου εἰ γλάνδουλα σχῇ τῶν σιαγόνω ν . [5]

119 Αὔξονται σάρκες ἐκ ῥυπαρίας, ἅσπερ σιδήρῳ χρὴ ἀποτέμνειν καὶ καυτηριάσαι, καὶ μετὰ ταῦτα θεράπευσον οὕτως· φάβατι καὶ ἐλαίῳ ἐπὶ ἡμέρας η′, ἐκεῖθεν νίτρῳ καὶ ὕδατι θερμῷ * * στακτῇ ἀπόπλυνον τὸ πάσχον μέρος, καὶ λοιπὸν οἰνελαίῳ ὄροβον ἠλησμένον ἐπίθες ἐπὶ γ′ ἡμέρας. μετὰ δὲ ταῦτα οἴνῳ καὶ ἀλεύρῳ κριθίνῳ θεράπευσον, ἕως ἂν ὑγιάνῃ. Πρὸς αὐτ ό . [5]

120 Ὀξύγγιον παλαιὸν μετὰ καθαρισθέντων σκόρδων, κοπέντα καθαρῶς εἰς τὰς μαξίλας τοῦ ἵππου παρατίθει, οὐ μὴν ἀλλὰ καὶ τὰς φάρυγας αὐτοῦ ἐξ αὐτοῦ κατάχριε. Πρὸς τοὺς ῥευματικοὺς εἰς τὰ σφυρὰ καὶ τὰς θέσει ς .

126 Καὶ τοῦτο εὔχρηστον· δι[α]φρυγοῦς ὁλκὰς λε′, κηκίδος ὁλκὰς ιβ′, στυπτηρίας στρογγύλης ὁλκάς β′. Ἄλλο 〈πρὸς τὸ φλεμῖνα δίχα σιδήρου θεραπεῦσαι 〉 .

135 Κάλλιον δὲ βοήθημα, εἰ βλάχνου ῥίζαν καὶ ὄροβον κόψεις ἐν ὅλμῳ μετὰ σύκων Ἄφρων· χρῶ ὡς ἀληθεστάτῳ. Πρὸς τὸ ἐκρῆξαι τὴν φλεμῖνα ν .

136 Συκῆς ῥίζαν, ὄροβον, ἀξούγγιον μετὰ ὄξους συγκόψας καὶ ἐπιπλάσ[σ]ας εἰς ὀθόνιον χρῶ. Πρὸς τὸ ἐπᾶραι φλεμῖνα ν .

137 Σινήπεως Ἀλεξανδρηνῆς γο ς′, καρδάμου Ἀλεξανδρηνοῦ γο ς′, σύκων Ἄφρων γο β′, ἀξουγγίου παλαιοῦ γο β′, ὄξους τὸ ἀρκοῦν. Πρὸς νεῦρα τὰ τῶν ἄρθρων ἤτοι λεπτ ά .

142 Κυπαρίσσου φύλλα κόψας καὶ λειώσας τούτοις ἐπίβαλλε κρίθινον ἄλευρον καὶ ἕψησον μετὰ οἴνου καὶ ἐλαίου ἀκροῦντος καὶ ποιήσας ἐμπλαστρῶδες βάλλε εἰς ὅλμον, καὶ μετὰ ἰαρίου Γαλλικοῦ * * καλῶς καθεψημένου καὶ λεπτοποιηθέντος μετὰ τὸ συγκοπῆναι ἀνελὼν χρῶ ὡς ἐμπλάστρῳ ἐπιπλάσσων καὶ ἐπιδεσμῶν. ὅμως δὲ πρὶν ἢ τὸ κατάπλασμα μιγῆναι πρότερον σκόρδον Γαλλικὸν κεκαθαρμένον μετὰ ἐβίσκου καθεψημένου καὶ ὀλίγης ἀξουγγίας κόπτεις, καὶ οὕτως ἐπιβάλλεις τὸ κατάπλασμα τὸ ἐκ τῶν κριθίνων ἀλεύρων καὶ τῶν φύλλων τῆς κυπαρίσσου. τοῦτο ποίει ἐπὶ ἡμέρας θ′, οὕτω μέντοι, ὥστε σε καθ’ ἡμέραν θεραπεύειν. Πρὸς τὰ λεπτὰ τῶν ὀστέων ἤτοι νεῦ 〈ρα 〉 . [10]

145 Πρὸς τὰ προγεγραμμένα ἤγουν νεύρων φλεγμονὰς ἢ ῥαγάδας τὰς ἐν νεύροις ἢ καὶ τὰ ἀπὸ ἅρματος πλήγματα, ἢ εἰ καὶ χυμός τις συρρεύσει, ταύτῃ χρῆσαι τῇ θεραπείᾳ· μάννης γο β′, ὄξους αὐστηροῦ ∞ c ′, εὐφορβίου γο β′, δαφνοκόκκων γο β′, πίσσης ὑγρᾶς γο δ′, θείου ἀπύρου γο β′, ἀξουγγίου χοιρείου ? α′, σινήπεως Ἀλεξανδρηνῆς γο γ′, κυμίνου γο γ′, ἀψινθίου χλωροῦ Ἄφρου γο ς′, ἀσβέστου γο γ′, σφέκλης γο ς′, λιβάνου ἄρρενος γο γ′, ῥητίνης τερεβινθίνης γο ς′, ἀλεύρου ὀροβίνου γο γ′, κόπρου περιστερᾶς γο ς′, πάντα συμμίξας χρῶ ἀρίστῳ βοηθήματι. καὶ γὰρ σκληρίας διαλύει καὶ σύμπαντα τὰ λοιπὰ θεραπεύει. Πρὸς 〈τραῦμα ἐν τοῖς κοίλοισ 〉 . [10]

151

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τραύματος δὲ γενομένου ἐν τοῖς κοίλοις, ὥστε τὸν ἐπίπλουν προπεσεῖν καὶ τὰ κόπρια φέρεσθαι ἐκ τῆς κοιλίας καὶ τὸ ὕδωρ, μὴ ἀπελπίσῃς· γίνεται γὰρ ὑγιὴς καὶ συνσαρκοῦται. διάχριε δὲ τὸν τόπον τῷ ἁλὶ καὶ τῇ πίσσῃ, καὶ ἐὰν ἔντερον προπέσῃ καὶ ὑγιὲς ᾖ, ἀνώσασθαι δεῖ, καὶ ἔσται ὑγιής. ἐπίπλουν δὲ προπεσόντα ψαλίζειν δεῖ. Κατάπλαστος πρὸς τὰς ἐκ φλεβοτομίας φλεγμονά ς . [5]

154 Κατάπλαστος ἡ δι' ἀσβέστου, ἁρμόζει δὲ τοῖς φλεβοτομουμένοις ἐκ τοῦ βραχίονος, ἐὰν γένηται ἐπιρρευματισμὸς καὶ φλεγμονή, καὶ τοῦτο ἐμπλάσσοντας εἰς ὀθόνιον ἐπιδεσμεῖν· ἀσβέστου, χαλκίτιδος, ἀριστολοχείας τὸ ἴσον, ἢ κάνναβιν ἀγρίαν ξηράναντας καὶ κόψαντας χρῆσθαι. Ἱεροκλέους περὶ φλεβοτόμου αἱμορραγία ς. [5]

155 * * τὸ ἴσον μέλιτι ἐπιχέων χρῶ τοῖς ἐκ φλεβοτομίας κακωθεῖσιν, ὡς καὶ αἱμορραγίαν γενέσθαι. ἁρμόζει τοῖς φλεβοτομουμένοις ἐκ τοῦ βραχίονος, ἐὰν γένηται ἐπιρευματισμὸς καὶ φλεγμονή, τούτοις ἐμπλάσσοντας ἐπιδεσμεῖν ἀσβέστου κτλ. Ἀφλέγμαντο ν . [5]

156 Κίρκη καὶ Μήδεια ἐκαθέζοντο πρὸς ἀνατολὰς ἡλίου, ἐζήτουν τὸ ἀφλέγμαντον εἴτε ἀπὸ λίθου εἴτε ἀπὸ ξύλου εἴτε ἀπὸ κυνοδήκτου. τὸ γὰρ ἕλκος ἀνήλιόν ἐστιν. Πελαγωνίου εἰ ἵππος αἰδοῖον χαλάσας μὴ δυνηθῇ ἀνακαλέσασθα ι .

164 Φούσκᾳ ψυχρᾷ συνεχέστερον ἐκεῖνο τὸ μέρος ἀπαντλήσεις καὶ εὐθέως θεραπεύσεις. Ἱπποκράτους περὶ χωλείας ὤμου καὶ βραχίονο ς , ἐὰν τὸ νεῦρον τὸ ἐν τῇ κοτύλῃ ἀποσπασθήσεται τρέχων καὶ βαδίζῃ μακρότερον καὶ ἐπαίρῃ τὸν πόδα, καὶ ἐὰν πέσῃ εἰς τὴν κοτύλην, ἐὰν ἀποτρέχῃ.

184 σύγχριε οὖν οἰνελαίῳ συνεχῶς, ἵνα μὴ ῥευματισθῇ καὶ μείνῃ, καὶ αἷμα ἀφαίρει ἀπὸ τοῦ βουβῶνος καὶ κατάχριε καυστικῇ. ἐὰν δὲ μὴ παύσηται, καίειν τροχὸν κατὰ τῆς κοτύλης ἔχοντα πυρῆνας ὀρθούς. Πρὸς 〈θλάσμα〉 . [5]

201 Γράψον εἰς τὸν ὄνυχα τοῦ πάσχοντος ποδὸς τοῦ ζῴου τὸ ὄνομα τοῦ ἰδίου δεσπότου. Ἄλλ ο .

202 Γράψον ὑπὸ τὴν στεφάνην τοῦ ζῴου μετὰ μαχαιρίου· ἰλὼψ ἰχθὺς νῆσος. Ἄλλ ο .

203 Λαβὼν κάνναβιν ποίησον κόμβους τρεῖς, ἐπὶ ἑκάστου κόμβου ἐπιλέγων· εἰς θλάσιν σε ἐφελκύ ω , ἀπολιθώθητ ι , ἀποξυλώθητ ι , ἀποκορδυλώθητ ι . καὶ μετὰ τὸ δῆσαι τὰς γʹ δέσεις περιτιθεῖς τὸ μεσοκύνιον τοῦ ζῴου πάλιν ἀποδεσμῶν ἁπλαῖς δέσεσι γʹ ταὐτὰ ἐπιλέγων, καὶ τότε κόψας μαχαίρᾳ ῥῖπτε χαμαί. Ἱπποκράτους πρὸς αὐτ ό . [5]

204 Ἐὰν ἔσω θλάσμα γένηται, σημεῖα ταῦτα, ἐὰν μὲν τὸν ἔμπροσθεν παρεπαίρῃ πόδα καὶ 〈μὴ〉 θαρρῶν τίθησι τὸν ὄνυχα, ἐάν τε πάλιν τὸν ὄπισθεν, εἰ ἀκρονυχίζει διπλῶς καὶ διάπυρός 〈ἐστι〉 . θεραπεύσεις οὖν οὕτως· περιχαράξας τὴν ὁπλήν, ἐὰν αἴσθῃ, ὅτι ἐπιμένει, κατάπλασσε κριθὰς ἑψημένας ἐν ὕδατι, ἢ πίτυρα ζεστὰ φυράσας καὶ μίξας παλαιὰν κόπρον μὴ πολλὴν κατάπλασσε, ἐὰν δὲ ἐπιμείνῃ, ἀνασκεύαζε. ἐὰν δὲ τὸ ὀστάριον τὸ ἐν τῇ χελιδόνι φανῇ, μέλιτι καὶ ὄξει χρῶ καὶ ὀλίγῳ δι' ἐλ〈λ〉υχνίου μοτῷ ἐπὶ ἡμέρα ς. εἶτα στύμμα τι ἐπιτίθει, κυπαρίσσου φύλλα λειοτριβήσας μετὰ ὄξους ἢ μυρίκης φύλλα. ὁμοίως δὲ ἐπιτίθει ἢ σιδίων κέλυφα· ἑψήσας ἐν ὄξει καὶ λεάνας ἐπίθες ἢ ξηρὰ κόψας ἐπίπασσε, ἢ χάλκανθον καὶ κηκίδας κόψας ἐπίπασσε προαποπλύνας ὄξει. Πελαγωνίου πρὸς αὐτ ό . [10]

206 Δακτυλίδιον σιδηροῦν ἔχον γλύμμα λέοντος καὶ ἐπάνω ἀστέρα ὑποκάτω τῆς γούλας κρέμασον καὶ θαυμάσεις. Ἑλκῶν φάρμακον μαλακό ν .

210 Κηροῦ στατῆρας ιςʹ, ῥητίνης Κολοφωνίας στατῆρας βʹ, στέατος ὑείου νεαροῦ στατῆρας ηʹ καὶ αἰγείου στατῆρας ηʹ, πίσσης ἑφθῆς στατῆρας βʹ, λιθαργύρου ὁλκὴν αʹ, στυπτηρίας σχιστῆς ὀβολοὺς γʹ, μάννης λιβάνου ὁλκὰς δʹ, σμύρνης ὀβολοὺς βʹ, μέλιτος ἡμικοτύλιον, λιβανωτοῦ ἄρρενος ὀβολοὺς βʹ, χαλβάνης ὀβολοὺς γʹ, ἐλαίου κοτύλην αʹ, ἕψει προσβαλὼν τὸν κηρὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ στέατα καὶ τὴν ῥητίνην καὶ τὸ ἔλαιον καὶ τὴν πίσσαν, εἶτα τὸ μέλι. ὡσὰν δὲ συγχυθῇ, τότε βάλλε τὰ λοιπὰ τρίψας εἰς λεπτὰ καὶ ἕψει, μέχρις οὗ ἐπιστάζοντί σοι πτερῷ ἐπὶ τὸν ὄνυχα πήσ 〈σ〉 ηται. καὶ τότε ἆρον καὶ βάλλε εἰς ἕτερον ἀγγεῖον. τούτου ἡ ὑποστάθμη ἁρμόζει ἀνθρώποις πρὸς τὰ ῥυπαρὰ ἕλκη ἐπιτιθεμένη ἔμμοτος, καὶ αὐτὸ δὲ πελιώματα βαστάζει καὶ εἰς τὰ λοιπὰ καθόλου εὔχρηστον, ἐκτὸς ἐναίμου καὶ κατακαύματος. ἐν δὲ τοῖς κτηνικοῖς κωλύει τὰς μυΐας προσκαθίσαι καταχριόμενον. Ἄλλο μαλακό ν .

211 Ἐλαίου κοτύλην α′, κηροῦ στατῆρας ις′, ῥητίνης Κολοφωνίας στατῆρας γ′, ταῦτα ἑψήσας εἰς ἄλλο ἀγγεῖον βάλε καὶ χρῶ ἐλαίῳ διεὶς τὸ φάρμακον καὶ καταχρίων τὰ ψιλώματα, καὶ ἔσται ὑγιής. Κατάπλαστος πρὸς τὰ ὑπερέχοντ α , ἀγαθὴ πρὸς τὰ ὑπερσαρκώματα καὶ κοῖλα ἀνάγουσ α .

214 Ἄσβεστον, πίτυν, χαλκίτην, ὀρόβινον, ἴσον ἑκάστου μίξας καὶ ποιήσας λεῖα χρῶ, ἢ ἀσφοδέλῳ. καὶ τὰ σίδια κοπέντα καὶ σησθέντα χρήσιμα. Ἑλκῶν καθαρτικ ά .

216 Κάνναβιν ἀγρίαν κόψας κατάπλασσε, ἢ ἀσάρου ῥίζαν, ἢ καὶ ὀρόβου ἄλευρον μετὰ μέλιτος χρηστοῦ, ἢ τιθύμαλλον κόψας μετὰ νίτρου καὶ μέλιτος, ἢ ἡλιοτρόπιον τὸ ἄρσεν, ὃ λέγεται σκορπίουρος, κόψας μετὰ νίτρου χρῶ. Ἄλλ ο .

217 Ἄριστον δὲ καὶ τοῦτο· ἄλευρον κρίθινον καὶ κράμβης φύλλα κόψαντα μῖξαι καὶ καταπλάσσειν. τοῦτο τάχιστα ἐκκαθαίρει τὰ ὄστρακα ἐκ τοῦ νώτου ἢ ἥλους λεγομένους. Ἄλλ ο .

218 Πρασίου λιβανωτοῦ τοῦ λεγομένου μετὰ νίτρου τὸ αὐτὸ ποιεῖ. κυπάρισον ἢ πολίου φύλλα κόψαντας ἐπιτιθέναι. Ἄλλη κατάπλαστος πρὸς τὰ βάθ η .

219 Ἀσβέστου, χαλκίτιδος τὸ ἴσον χρῶ, ἢ ἀριστολοχείας, ἢ κάνναβιν ἀγρίαν ξηράνας καὶ κόψας χρῆσαι. Πρὸς τοὺς σκώληκας τοὺς ἐν τοῖς ἕλκεσ ι .

220 Χαμαιλέοντος ῥίζαν κόψας ἔμπασσε ἢ χάλκανθον, ἀσβέστου, τὸ ἴσον ἑκατέρου, τὸ αὐτὸ γὰρ ποιεῖ. Ἄλλο πρὸς ἕλκ η .

221 Ἄριστον δὲ καὶ τοῦτο πρὸς τὰς ἀποκαύσεις καὶ τὰ λοιπὰ τῶν ἑλκῶν· χαλκάνθου ὁλκὰς β′, στυπτηρίας σχιστῆς ὁλκὰς β c ′, μίσυος, χαλκίτιδος ἀνὰ ὁλκὴν α′, ἰοῦ ὁλκῆς c ′, ταῦτα τρίψας λεπτὰ ὄξος λευκὸν ἐπίχεε. ἑψεῖν δὲ ἐν χαλκῷ, ἕως ἂν ἐκζέσῃ, καὶ πάλιν τρῖβε προσεπιβαλὼν μυρσίνης ὁλκὴν α′, σιδίου ὁλκὴν c ′, κηκίδος ὁλκὴν c ′. ταῦτα τρίψας ἀπόθου καὶ χρῶ μετὰ ὄξους. Ἄλλ ο .

222 Σίδια βρέξας νυκτοήμερον ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς τὸν οἶνον ὑπερέχειν τῶν σιδίων, ἕψει παρεγχέων ἀμόργης διπλάσιον τοῦ οἴνου, καὶ τρίψας διήθησον, καὶ τὰ μὲν ξυλώδη ῥῖψον, πρὸς δὲ τὸ διηθημένον μίξας στυπτηρίαν καὶ λιβανωτὸν ἕψει. ποιήσας τὸ πάχος μέλιτος ἀποθέμενος τούτῳ χρῶ μετὰ ὄξους. ὑγιαζομένου δὲ τοῦ ἕλκους ἁπαλὸν ποίει τὸ φάρμακον 〈ὡς κηρωτήν〉 . [κηρωτή.

225 ] Ἀρίστη βοτάνη ἐπὶ τῶν οἰδημάτων καὶ ἀποστημάτων καὶ κόλπων καὶ τραυμάτω ν , μάλιστα τῶν κατὰ νεῦρο ν , καὶ ὅσα τῶν ἑλκῶν λειπόδερμα ἢ λειπόσαρκ α . Λέγεται μὲν ἀλθαία, ὑπό τινων δὲ μολόχη, Ῥωμαϊστὶ δ’ ἔβισκος, παρὰ Σαρμάταις δὲ καὶ Γέταις καὶ Θρηξὶν ἄρισπι ς. δεῖ ὀρύσσειν τὴν ῥίζαν καὶ τὴν ἐντεριώνην ἐξαιροῦντας ῥίπτειν, τὸ δὲ λοιπὸν ὀπτῶντας ἀξουγγίῳ μῖξαι καὶ συγκόπτειν αὐτὸ καὶ ἐμπλάττοντας εἰς ῥάκος ἐπιτιθέναι. ὡσαύτως καὶ ἐ π ’ ἀνθρώπων ποιεῖ, μάλιστα δὲ τοὺς κόλπους παρακολλᾷ. ὅσοι δὲ ἑψοῦσιν αὐτὴν ἁμαρτάνουσιν, 〈τὴν γὰρ δύναμιν αὐτῆς λαμβάνουσιν.〉 ἡ μὲν 〈οὖν〉 ἀλθαία οὐ ῥᾳδίως εὑρίσκεται, φυομένη ἐν τοῖς τῆς Ἀσίας τόποις ἢ Σικελίας πανταχοῦ. εὑρίσκεται δὲ ἐν τῇ Σμύρνῃ ἐν τῷ Μέλητι ποταμῷ. ἔστι δὲ ἑτέρα βοτάνη λεγομένη ἀναδενδρομολόχη, ὑπό τινων σαλκ ι, ἧς ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ φύλλον πλατύτερον. ταύτης τὴν ῥίζαν ὡσαύτως σκευάζοντας καθὼς ἐπάνω γέγραπται χρῆσθαι. τὰ αὐτὰ γὰρ παρέξεται ἔν τισιν. Σηπτικό ν .

228 Ἀρρενικοῦ ὁλκὰς β′, λεπίδος χαλκοῦ ὁλκὴν α′, σανδαράχης ὁλκὰς β′, ταῦτα τρίψας λεῖα χωρὶς ἕκαστον καὶ πάλιν ἐν τῷ αὐτῷ μετὰ ἐλαίου κεδρίνου ἑνώσεις. ἐὰν δὲ τὸ κέδρινον μὴ ἔχῃς, μετὰ ἀγρίου σικύου χυλοῦ τρῖβε, τὸ αὐτὸ γὰρ ποιεῖ. Ἄλλ ο .

229 Ἁλὸς ὁλκὰς β′, μάλιστα δὲ ὀρυκτοῦ, καὶ ἀρσενικοῦ ὁλκὴν α′. Ἄλλ ο .

230 Ἐλλεβόρου ὁλκὰς β′, χαλκίτιδος ὀπτῆς τὸ ἴσον μέλι ἐπιχέων χρῶ. Τραυματικό ν .

232 Μέλιτος κοτύλην α′, ἀμουργίου ἑφθοῦ κοτύλας δ′ καὶ σάκκου κατακεκαυμένου 〈καὶ τετριμμένου〉 λείου στατῆρα α′, ἀριστολοχείας τὸ ἴσον, 〈βιβλίου κεκαυμένου στατῆρα α′〉 τρίψαντα βαλεῖν εἰς λοπάδα καὶ ἑψεῖν, ἕως ἂν δίεφθον γένηται. καὶ 〈ὅταν〉 πήγνυται, ἆρον συντόμως, (εἰ δὲ μή, προσκαήσεται) καὶ κατάχει εἰς ἕτερον ἀγγεῖον καὶ χρῶ. Διαλυτικό ν .

233 Περιστερινῆς κόπρου μέρος α′, νίτρου 〈τὸ〉 δ′, ἁλὸς τὸ ἴσον τῷ νίτρῳ, στέατος αἰγείου τεθεραπευμένου τὸ διπλάσιον τῆς περιστερινῆς, κηρωτῆς τὸ ἥμισυ τοῦ στέατος. προ[σ]τρίψεις τὸ ἅλας καὶ τὸ νίτρον καὶ τὴν περιστερέαν μετὰ ὄξους δριμέος, καὶ τότε βάλῃς κόψας τὸ στέαρ ἐπὶ πᾶσι καὶ τὴν κηρωτήν, καὶ συλλεάνας εἰς ὀθόνιον ἐμπλάσσων χρῶ ἐπὶ τῶν σπασμάτων τοῦ νεύρου ἐν τῇ κοτύλῃ ἀνιεὶς εἰς τὸ ὑπερέχον κονδύλωμα. ἔστι δὲ ἄριστον καὶ ἐ π ’ ἀνθρώπων πρὸς πᾶσαν φλεγμονήν, μάλιστα ἐπὶ τῶν βουβώνων τῶν ἐν ἀρχῇ καὶ πρὸς ἐρυσίπελα καὶ πρὸς κυνόδηκτα καὶ ἐπὶ τῶν αἰδοίων, ὅταν ᾖ φλεγμονή, ἐμπλασσόμενον εἰς ὀθόνιον. Καθαρτικὸν ἑλκῶ ν .

234 Σταφίδα ἥμερον καὶ ἄλευρον ὀρόβινον καὶ σικύου ἀγρίου ῥίζαν κόψαντα μῖξαι καὶ μέλι ἐπιχέοντα[ς] χρῆσθαι. ἔστω δὲ ὁ σίκυς πλείων βραχύ. Λιπαρὰ σύνθεσι ς .

235 Ψιμυθίου καὶ λιθαργύρου ἴσον ἑκατέρου, βαλὼν εἰς θυῖαν τὴν λιθάργυρον καὶ προλεάνας, εἶτα τὸ ψιμύθιον, καὶ τρίψας ἐπιχέειν, παρεμβαλὼν ἓν παρ’ ἕν, ἔλαιον καὶ οἶνον τὸ ἀρκοῦν πρὸς τὴν χρῆσιν. ἔστω δὲ ὁ οἶνος λευκὸς καὶ εὐώδης καὶ τὸ ἔλαιον καλόν. ἔστι δὲ 〈ἀγαθὴ〉 πρὸς πάντα τὰ τετράποδ α· τὰ κοῖλα τῶν ἑλκῶν ἀνάγει ἔμμοτος ἐπιτιθεμένη, καὶ τὰ ῥυπαρὰ δὲ ἀνακαθαίρει καὶ τὰ καθαρὰ δὲ συνάγει, μάλιστα δὲ τὰ ἐν τοῖς τραχήλοις τῶν ὑποζυγίων ἁπάντων, καὶ τὰ κατακεκαυμένα ἀπουλοῖ. ποιεῖ δὲ καὶ ἐ π ’ ἀνθρώπων καλῶς πρὸς παρατριβὰς καὶ ἀποτρίψεις καὶ ἐξανθήματα καὶ τὰ ἔνικμα ἕλκη καὶ λειπόσαρκα καὶ ψιλώματα 〈καὶ κοῖλα〉 ἔμμοτος χρωμένη καὶ πρὸς κατακαύματα. Λιπαρὰ ἄλλ η .

236 Λιθαργύρου γο α′, ψιμυθίου γο α′, στέατος χοιρείου ⍰ α′, ῥοδίνου τὸ ἀρκοῦν. προλείου τὴν λιθάργυρον καὶ τὴν μάννην, εἶτα τὸ ψιμύθιον. Ἄλλη ἀπὸ τῆς Ἀντωνίνου διφθέρας τῆς ἰατρικῆ ς .

237 Λιθαργύρου γο γ′, ψιμυθίου γο γ′, κηροῦ ⍰ γ′, στέατος χοιρείου ⍰ γ c ′. Πρὸς κατακαύματα τῶν μωλώπω ν .

238 Χαλκοῦ ἄνθος ἐν ὄξει ἑφθῷ πάχος ἔχοντι μέλιτος τρῖβε. Πρὸς τὰ ῥυπαρὰ ἕλκη καὶ νομὰς ἔχοντα ἄριστον βοήθημ α .

239 Στυπτηρίαν φορίμην καὶ μέλι ἑψῶν χρῆσο ἔμμοτον· ὡσαύτως καὶ ἐ π ’ ἀνθρώπων χρῆσο. ἕψει δὲ μαλακῷ πυρί, ἀναβαίνει γὰρ ταχύ. Πρὸς τραύματα καὶ ἕλκ η .

240 Πρὸς δὲ τραύματα καὶ ἕλκη αὐτόματα γινόμενα ἢ ἐξ αἰτίας τινὸς καὶ σκολοπήματα εἰς τοὺς πόδας κατὰ νεῦρον ἄριστον βοήθημα χρῆσθαι ἐν αὐτοῖς ἁλὶ λεπτῷ καὶ πίσσῃ ὑγρᾷ χρίοντας. Πρὸς κοχλίον κτήνους καὶ ὑπερσαρκώματ α .

243 Ἰοῦ 〈μέρη * 〉 , μίλτου β′, χαλκίτεως α′, χαλκάνθου α′ τρίψας καὶ σήσας ἐπίπασσε. Πρὸς ἕλκ η .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

244 Ἐλαίου σχ[ο]ινίνου ? ια′, κηροῦ ? ια′, στέατος χηνείου ? ια′, ὑσώπου γο δ′, ἰοῦ, χαλβάνης, ἀπτῆρος ἀρσενικοῦ ἀνὰ γο ς′, ῥητίνης γο ς′, στύρακος ? α′, ῥητίνης Κολοφωνίας ? α′, ῥητίνης τερεβινθίνης ? α′, μάννης ? α′, κώνης ? α′, ῥουβρίκας ? α′, σεμιδάλεως ∞ δ′, οἴνου τὸ ἀρκοῦν. Τὸ Ξενοκράτους σαρκωτικό ν .

245 Ἴρεως < ι′, ὀρόβου < κ′, λιβάνου < ε′, ἀριστολοχείας < ε′, λείωσον πάντα ἰδίᾳ καὶ οὕτως μῖξον. Ξηρίον τὸ διὰ καρύω ν .

246 Καρύων χλωρῶν φλοιόν, ἀσβέστου, τρυγὸς οἰνηρᾶς, πάντα ἴσα λειώσας χρῶ. Εὐμήλου πρὸς ἕλκη διάφορ α .

248 Ἕλκη παντοῖα θεραπεύσεις κυκλαμίνου ῥίζης σποδιὰν μετὰ κριθίνου ἀλεύρου καὶ μέλιτος ἀναλαβὼν καὶ ἀποτιθέμενος. εἰ δὲ βαθύτερα εἴη, μίλτον μέλιτι μίξας καὶ μοτὰ χρίσας εἰς τὰ τραύματα ἔμβαλε καὶ ῥάκος ἄνωθεν ἐπίθες καὶ σπόγγον ὀξυκράτῳ βρέξας ἐπάνω θὲς καὶ ἐπίδησον. θεραπεύουσι δὲ καὶ κηκῖδες λελειωμέναι καὶ χυλὸς πρασίου μετὰ αἰθάλης, ἢ φλοιὸς μήλων ἐρυθρῶν, ἢ ἀμπέλου φλοιὸς καυθεὶς καὶ ἀποτεφρωθεὶς καὶ λεῖος ἐπιπασσόμενος. εἰ δὲ ξηραίνοιτο τὰ τραύματα, κρίθινον ἄλευρον φρύξας καὶ βαλὼν ? α′, ῥητίνης γο ς′ καὶ οἴνου κυάθους δ′ καὶ ἐλαίου ἴσον συνέψησον καὶ χλιαρὸν κατὰ τοῦ τραύματος ἐπιτίθει. τούτῳ τῷ τρόπῳ καὶ τὰ τῶν ἀνθρώπων κιρσώδη θεραπεύεται σκέλη. εἰ δέ γε φλεγμονὴ παρακολουθήσει, σικύου ἀγρίου ῥίζαν καὶ ἀγρίου συκῆς φύλλα μετὰ ὄξους καὶ μέλιτος λειώσας ἐπίθες. εἰ δὲ ῥυπαρὸν τὸ ἕλκος εὑρεθείη, τιθύμαλλον μετὰ μέλιτος καὶ νίτρου καὶ σταφίδος καὶ ἀλεύρου ὀροβίνου λειώσας ἐπίθες. ἐὰν δὲ ἑλκωθῇ ἔντερα καὶ πῦον καθαρὸν φ 〈έρ〉 ῃ, θεραπεύσεις οὕτως· θεαφίου γράμματα γ′, ἀσφάλτου γράμματα γ′, κύμινον καὶ σαγάπηνον λειώσας καὶ οἴνῳ μίξας τοῖς ἄλλοις πρόσβαλε, ἐπὶ ἡμέρας θ′ διανείμας τὸ βοήθημα διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλε. Περὶ τῶν ἐν στόματι ἑλκῶ ν .

249 Τὰ δὲ ἐν στόματι ἕλκη κηκῖδι ἐρυθρᾷ κεκομμένῃ θεραπεύεται τῆς γλώσσης κρατουμένης, ὥστε ἐγκαθεσθῆναι τὸ βοήθημα, εἶτα σπόγγῳ οἴνῳ βεβρεγμένῳ ἀποπλύνων κατάμασσε. Περὶ τῶν ἐν τοῖς τραύμασι τριχῶν καὶ περὶ λύσσης βοῶ ν .

250 Εἰ ἐν τοῖς τραύμασι τρίχες φύουσαι μὴ συγχωροῦσ[α]ι οὐλὴν ἐπιγίνεσθαι τῷ τραύματι, καρκίνον καὶ ἀγριοσταφίδα λειώσας εἰς ὄξος καὶ θερμάνας ἐπιτίθει τῷ τραύματι, ἢ ῥοῦν Συριακὴν μετὰ σατυρίου καὶ ἅλατος ἀμμωνιακοῦ λειώσας ἐν ταὐτῷ καὶ μίξας μέλι ἕψησον καὶ χρῶ. τὸ αὐτὸ δὲ καὶ βουσὶν ὑπὸ λύσσης δοκιμαζομένοις χρήσιμον. Θεομνήστου πρὸς σηπεδόνας τὰς ἐν στόμασι ν .

252 Χαλκίτεως ὀπτῆς διαπύρου γεγενημένης τρῖψον μετὰ μέλιτος, ἵνα λειότατα γένηται, καὶ βάλε εἰς πυξίδα καὶ χρῶ πρὸς σηπεδόνας καὶ νομὰς τὰς ἐν στόμασι καὶ πανταχοῦ. Πρὸς τὰ ὑπερσαρκοῦντα πλαστὸν φάρμακο ν .

253 Ἄσβεστον ἄβροχον, χαλκῖτιν, ὀρόβινον ἄλευρον, ἴσα πάντα καὶ πίτυος, λεῖα ἔχων ἐπίπασσε. τοῦτο δὲ καὶ τὰ κοῖλα πληροῖ. Τραυματικὰ εὐπόριστ α .

257 Ἁπλᾶ ἡμῖν ἐπινενόηται διὰ τὸ πολλάκις ἐν ὁδοιπορίαις συμβαίνειν ὑποζύγια τιτρώσκεσθαι καὶ μὴ εὐπορεῖν συνθέτων πολυτελῶν φαρμάκων, χρήσιμα μὲν τοῖς πᾶσιν, εὐπόριστα δὲ τοῖς μετρίοις· πολυτελείᾳ τε καὶ δαψιλείᾳ θεραπεύειν ἔσθ’ ὅτε [δὲ] οὐχ ὑφίστα 〈ν〉 ται τῆς πενίας αὐτῶν ἐπικοπτούσης. πρὸς πᾶν τοίνυν ἀξιόλογον ἔναιμον φάρμακον ὑπόκειται τοῦτο· γῆς ἔντερα τὰ καλούμενα ἀνελόμενος ἀπ’ ἀσκάφου γῆς [ἀνελόμενος] καὶ λειώσας ἔμβαλε εἰς τὸ τραῦμα καὶ ἐπίδησον. Ἄλλ ο .

258 Ἀριστολοχείαν στρογγύλην λίαν ἔχων κεκομμένην καὶ λελειωμένην μέλιτι πάλιν συλλειώσας γέμισον τὸ τραῦμα καὶ ἐπίδησον. Ἄλλ ο .

259

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πτελέας φλοιοὺ 〈σ〉 τοὺς ἔσω βαλὼν εἰς χύτραν ὕδωρ ἕψησον, ὡς δίεφθοι γένωνται, καὶ οὕτως λειώσας αὐτοὺς ἐπιμελῶς ἢ εἰς ὅλμον ἢ εἰς θυΐαν ἔνθες εἰς τὸ τραῦμα καὶ ἐπιδέσμει· ἐὰν δὲ φλεγμαίνῃ, κιμωλίαν ὄξει λειώσας ἐπίχριε τὴν φλεγμονήν. Ξηρίον ἴσχαιμο ν . [5]

260 Πολλάκις πληγέντος ὑποζυγίου πληγὴν ἀξιόλογον καὶ ἀγγεῖα διακόπτεται, ἀφ' ὧν αἱμορραγία γίνεται, ἥτις εἰ μὴ σταλείη, κινδυνεύσει τὸ ζῷον. εὐπόριστον οὖν ξηρίον ἐποιήσαμεν καὶ τοῦτο 〈ὑπὸ〉 πάντων εὔληπτον· * ἐκ θαλάσσης τραχέα λαβὼν ἐναπόβρεξον ὑγρᾷ πίσσῃ, καὶ καύσας αὐτὰ ἔχε τὴν τέφραν καὶ γέμιζε ἀπ' αὐτοῦ τὸ διατετμημένον ἀγγεῖον καὶ δέσμει μὴ σφίγγων. 〈ἄκρως γὰρ ποιεῖ〉 . Ἄλλ ο . [5]

261 Ἀρσενικόν, ἄσβεστον, χαλκῖτιν, καλάκανθον, ἴσα τὰ δ′ λειοποιήσας χρῶ. Ξηρίον ἀναπληρωτικὸν ἑλκῶ ν .

262 Οὐδὲν κωλύει μέλειν τοῖς ἰατροῖς καὶ τοῦ κοσμίους εἶναι τὰς τῶν ἑλκῶν οὐλάς. οὐλὴ γὰρ τομὴν πεπονθότι τόπῳ οὐ μετρίαν φέρει τὴν ἀκοσμίαν κοίλη γινομένη. ἀφόρητον μὲν ἔχει τὴν ἀκοσμίαν, καταγέλωτα δὲ τοῖς ἰατρεύουσι φέρει. ἐκθησόμεθα οὖν κοίλου ἕλκους σαρκογόνον φάρμακον τῶν εὐπορίστων· ἄλευρα λεπτὰ καθαρὰ ἀπὸ ὀρόβων ποιήσας καὶ φυράσας 〈ὕδατι〉 ὄπτησον ἀρτίσκους ὡς ἀνθρακωθῆναι, καὶ θρύμβης λειοτάτης ἀκαύστου τὸ τρίτον μέρος μίξας χρῶ. Ἄλλ ο . [5]

263 Λιβάνου λεπτοτάτου καὶ λειοτάτου τῆς καλουμένης μάννης, *** ἐχέτω, ἡ δὲ συσταθμία αὐτῶν αὕτη ἔστω· ἀρσενικοῦ ⍰ α′, τῆς δὲ θρύμβης γο ϛ′, τῆς δὲ μάννης γο γ′. Ἱπποκράτους σκευασία τραυματικ ή .

264 Χαλκίτεως ὅσον γο α′, στυπτηρίας σχιστῆς γο α′, σαρκοκόλλης γο α c ′, βότρυος ῥοὸς γο γ′, ἀμόργης ὀβολοὶ γ′. ἕψει ἕως τριτωθῇ, ἔπειτα βάλε μέλιτος κοτύλην α′, ὄξους κοτύλην α′. ταῦτα συνέψει ἕως γένηται πάχος καὶ χρῶ τῇ τραυματικῇ. Περὶ τραυμάτω ν . [5]

265 Ἅμα τῷ χρῖσαι βάλε ὀξύγγιον καὶ ἔλαιον, κἀκεῖνα τήξας ἐπίχριε, ἢ γλοιὸν τὸν ἐκ τῆς παλαίστρας ἐπίχριε καὶ ὀρόβινον ἄλευρον ἐπίπασσε, καὶ πλῦνε ἐπὶ ἡμέρας γ′, καὶ λοιπὸν θεραπευθήσεται. Περὶ πληγῶ ν .

266 Πληγαῖς πλειοτέραις πληγέντος ἑλκώσεις 〈καὶ〉 οἰδήματα γίνεται· χρὴ οὖν τοὺς ἐπιδεσμεύεσθαι δυναμένους τόπους σπόγγῳ μετὰ ἀκράτου ἐπιδεσμεῖν, τοὺς δὲ δυσεπιδέτους τόπους κατάχριε τῇ κεραμικῇ γῇ πεφυρμένῃ ὄξει, ἢ στρύχνον κόψας ἐν ὄξει καὶ ἐκπιάσας κατάχριε, ἢ κιμωλίαν μετ' ὄξους τρυγὸς κατάχριε, ἢ κωνείου φύλλα κόψας κατάχριε. Λιπαρὰ σκευασί α . [5]

267 Ψιμυθίου, λιθαργύρου ἴσον ἑκάστου τρῖβε ἐν ἡλίῳ, μίσγων μετὰ ὄξους καὶ ῥοδίνου. Περὶ οἰδημάτω ν .

268 Μέλι Ἀττικὸν λαβὼν ἐπίχριε. Σκευασία τραυματικ ή .

269 Τρέφει ἄσβεστος· μετὰ φλοιοῦ καρύου κόψας εἰς ἓν καὶ ψύξας χρῶ. Ἄλλ ο .

270 Κόνυζαν ἢ πίτυος τὸν φλοιὸν ἢ πολίου βοτάνης ἢ κυπαρίσσου κηκίδια ἢ μολόχης ἀγρίας τὰ φύλλα ἢ καννάβεως ἀγρίας τὰ φύλλα. Σπουδαῖο ν .

277 Ἐλάφου κέρας κατακαύσας καὶ τρίψας ἔλαιον ἐπίβαλε, ἢ πίτυν πευκίνην καὶ ῥοῦν ἀνατρίψας χρῶ ὡσαύτως. Σηπτικό ν .

278 Ἐλλεβόρου ὁλκὰς β′, χαλκίτιδος τὸ ἴσον, τιτάνου ὁλκὰς γ′, ἀρσενικοῦ ὁλκὴν α′, ὁμοῦ τὰ πάντα χρίσας χρῶ. Πρὸς παντοῖον ἕλκο ς .

288 Σμύρνης γο ϛ′, μέλιτος κυάθους β′, ἀψινθίου τὸ ἀρκοῦν λείωσον. ἕψησον δὲ ἔλαιον καὶ κηρόν. ἔασον ψυγῆναι 〈καὶ〉 τὸ ἀψίνθιον [καὶ] ἐπίπασ[σ]ον. πάντα δὲ ἐν ταὐτῷ φυράσας ἐπὶ ῥάκους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιπλάσ[σ]ας ἀπόθου ἐπὶ ἡμέρας γʹ· τοῦτο καὶ τῷ πόνῳ καὶ τῇ φλεγμονῇ 〈ἁρμόζει〉, πάνυ γάρ ἐστιν ἀληθές. Τραυματικὴ εὔοσμο ς .

289 Λυθαργύρου ⍰ βʹ, ῥητίνης τερεβινθίνης ⍰ αʹ, λιβάνου ἄρρενος ἀλεύρου ⍰ βʹ, σιδίων ξηρῶν ⍰ βʹ, ῥητίνης Κολοφωνίας ⍰ βʹ, στύρακος ⍰ βʹ, ὀποπάνακος ⍰ αʹ, μίσυος ⍰ αʹ, ἰξοῦ γο ςʹ. Κατασκευὴ ξηρίο υ .

290 Ἀρρενικοῦ σχιστοῦ, τιτάνεως ἀνὰ γο εʹ, χάρτου κεκαυμένου τὸ ἀκροῦν. Ἄλλο 〈πρὸς ψώραν ἀγρίαν〉 .

292 Ἀσφάλτου, θείου ἀπύρου ἀνὰ γο δʹ, ὄξους ∞ δʹ ἕψει ὡς τέταρτον λειφθῇ. τὸ αὐτὸ δὲ καὶ λειχῆνας παύει. Ἄλλ ο .

302 Στέατος χοιρείου ⍰ αʹ, κηροῦ γο ςʹ, θεαφίου γο βʹ, τὰ ὀφείλοντα λειώσας τοῖς τηκτοῖς ἐπίβαλε, καὶ πάντα συμμίξας ἕψει καὶ ἀπόχριε. Ἄλλ ο .

304 Κριθὴν τὴν ἐν 〈στ〉άβλοις φυομένην ∞ ςʹ, ἀκάνθην ἀλέσας καὶ ἐπιβαλὼν ἐλαίου κυπρίνου τὸ ἀρκοῦν καὶ χλιάνας σύγχριε ἡλίου θερμοῦ ὄντος. ἄλλ ο .

305 Βατράχους ἑψήσας εἰς ὕδωρ ἀνάλαβε αὐτῶν τὸν ἰχῶρα καὶ πρόσμιξον ἐλαίου τὸ ἀρκοῦν καὶ συνεψήσας χρῶ. Ἄλλο σωτηριῶδες βοήθημ α .

306 Ἐν μὲν ταῖς ἀρχαῖς στέαρ πρόσαγε φώκειον. εἰ δὲ ἤδη ἀπεσκληρύνθη, σφοδροτέροις καὶ ἰσχυροτέροις δεῖ κεχρῆσθαι βοηθήμασιν. ὅθεν χρῆσαι τοῦτο· ἄσφαλτον, θέαφον, ὄξος, πίσσαν ὑγράν, ἀξουγγίαν παλαίαν ἴσῳ σταθμῷ λύσας καὶ ἑνώσας πρόσαγε, οὕτω μέντοι πρότερον σιδήρῳ τὴν ψώραν ἀποξέσας καὶ οὔρῳ ἀνθρωπείῳ ἀποπλύνας. Ἱπποκράτους πρὸς 〈μανίαν〉 .

311 Λαμβάνεται ἀπὸ χολῆς ἢ ἀπὸ ὀδύνης ἰσχυρᾶς. σημεῖα δὲ ταῦτα· ὅταν ἕλκηται, προβάλλεται, κινήσεις γίνονται παράκαιροι καὶ τῶν ὠτίων ὄρθωσις, καὶ τὰ σκέλη λαφρὰ ἀφίησι. τὰ δὲ φλέβια κατὰ τῶν μυκτήρων φοινικᾶ γίνονται καὶ εἰς τοὺς τοίχους ἐμπίπτει καὶ τὸν ἐφελκόμενον ἀποσπᾷ καὶ ὀρθὸς ἵσταται. θεραπεύεται οὖν οὕτως· αἷμα ἀφαιρεῖν καὶ ἐγχυματίζειν οἰνελαίῳ * * * δίδου διαλείπων ἡμέρας καὶ ἐγχυμάτιζε τοῖς αὐτοῖς. κριθὰς δὲ μὴ δὸς φαγεῖν ἐπὶ ἡμέρας ιʹ. ἐὰν δὲ ἀπό τινος αἰτίας ἢ παρηγορίας ὑγρότερον ᾖ ἐκεῖνο τὸ πάθος ὅθεν συνέστη, ποίει τοὺς ἐγχυματισμοὺς καὶ τὰς φλεβοτομίας κατὰ τὴν ἡλικίαν, οἷς μὲν ἀφαιρῶν, οἷς δὲ προστιθείς. Εὐμήλου πρὸς 〈ὀπισθότονον〉 ἄλειμμ α .

317 Δαφνοκόκκων ⍰ αʹ, νίτρου ⍰ αʹ, πίσσης προβατικῆς ⍰ δʹ, οἴνου ∞ βʹ, ἐλαίου ∞ βʹ. Προπότισμα πρὸς αὐτ ό .

318 Δαφνοκόκκων ⍰ βʹ, νίτρου ⍰ αʹ, λιβάνου ἀλεύρου γο γʹ, σεσέλεως Γαλλικοῦ ⍰ αʹ, πεπέρεως λευκοῦ ⍰ βʹ, πετροσελίνου ⍰ βʹ, ὀποπάνακος 〈 * * πάνακοσ〉 ῥίζης ⍰ δʹ, ταῦτα πάντα κόψας σήσας, διεὶς οἴνῳ καὶ ἐλαίῳ ἀναλαβὼν καὶ θερμάνας προπότιζε, καὶ σῴζεις οὕτως τὸ κάμνον. Θεραπεία πρὸς 〈τέτανουσ〉 .

324 Κηροῦ, ῥητίνης, ὀποπάνακος ἀνὰ ⍰ αʹ, ὀξυγγίου ⍰ αʹ, δαφνίνου γο αʹ, ἄγνου τὸν καπρὸν τρίψας λεῖον γο γʹ χρῶ. Ἄλειμμα πρὸς 〈ὀπισθότονον〉 .

327 Κηροῦ ⍰ αʹ, ῥητίνης γο δʹ, ὀποπάνακος γο βʹ, μυελοῦ ἐλαφείου γο βʹ, ἐλαίου στυρακίνου γο γʹ, ἐλαίου δαφνίνου γο δʹ, ταῦτα πάντα συνεψήσας ἐν ἡλίῳ ἢ ἐν ἄλλῳ θερμοτέρῳ τόπῳ χρῶ. Ἄλλ ο .

328 Κηροῦ, ὀποπάνακος, ἐλαίου ἀνὰ ⍰ αʹ, ταῦτα πάντα συνέψησον, καὶ μετὰ τὸ ἑψηθῆναι πρόσμιξον ὄξους τὸ ἀρκοῦν καὶ χρῶ, καθὼς προείρηται. Ἄλλ ο .

329 Δαφνοκόκκων ∞ αʹ, κυμίνου ∞ αʹ, θείου ἀπύρου γο γʹ, ῥητίνης γο αʹ, ἐλαίου κοινοῦ ∞ βʹ, ταῦτα πάντα συμμίξας χρῶ. Ἄλλ ο .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

331 Πρὸ πάντων ἐν τόπῳ θερμῷ στηκέτω καὶ τούτοις κεχρήσθω τοῖς προποτίσμασι· πεπέρεως λευκοῦ γράμματα β′, κρόκου γράμμα α′, σμύρνης γράμμα α′, ταῦτα πάντα λειώσας καὶ ὡς πάστιλλον ποιήσας ἐν προποτίσμασι δίδου. Ἄλειμμα πρὸς τὸ αὐτὸ καὶ πρὸς ψῦχο ς .

333 Κηροῦ ? α′, ῥοδίνου ἐλαίου γο β′, οἴνου παλαιοῦ τὸ ἀρκοῦν. Προπότισμα πρὸς αὐτ ό .

334 Πίσσης ὑγρᾶς γο β′, δαφνοκόκκων γο α′, νίτρου ματρονικίου γο c ′, λιβάνου ἀλεύρου γο α′, πάνακος ῥίζης γο α′, οἴνου ∞ β′, ἐλαίου ∞ α′. ταῦτα πάντα λειώσας τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μίξας δίδου. Ἄλλ ο .

335 Δαφνοκόκκων γο ς′, νίτρου γο α′, λιβάνου, σεσέλεως Γαλλικοῦ, πετροσελίνου ἀνὰ γο α′, σύμπαντα κόψας σήσας μετὰ χλιαροῦ πόματος δίδου. Ἄλλο 〈πρὸς μυρμηκίαν 〉 .

344 Μίσυος γο γ′, κόμμεως, χαλκίτεως, στυπτηρίας φορίμης ἀνὰ γο α c ′, πρωτοστάκτου τὸ ἀρκοῦν προσμίσγων τροχίσκους ποίει. Ξηρίον ὀφθαλμικό ν .

351 Λάμνας αὐροχαλκέας καὶ οὖρον πρόσφατον βάλε εἰς ἓν εἰς παροψίδα ὀστρακίνην καινήν. ζέννυε ἐπιβαλὼν τὸ οὖρον ἐφ᾽ ὅσον συντακῶσιν αἱ λάμναι καὶ χρῶ. Ἄλλ ο .

352 Ἅλας ἀμμωνιακὸν καὶ σηπίας ὀστράκου καὶ κροκοδείλου τὴν κόπρον σύντριψον εἰς ἓν καὶ λειοτρίβησον καὶ βάλε εἰς σκεῦος χαλκοῦν καὶ ἐμφύσα αὐτοῦ τὸν ὀφθαλμόν. Ἄλλο ξηρίον ὀφθαλμικό ν .

354 Νίτρον λεπτὸν καὶ α 〈ἰ〉 ρίσφλως τρῖψον εἰς ἓν καὶ χρῶ πρὸς λευκὸν ὀφθαλμόν. Ἐὰν ἀπὸ χλωρῶν κοιλοφθαλμ 〈ι〉 ῇ , οὕτως θεραπεύσῃς· αἷμα αὐτοῦ ἀφέλῃς ἀπὸ τῶν βραχιόνων καὶ ἀπὸ τῶν κορωνῶν, καὶ ἀνακολλήμασι χρήσῃ καὶ ἐμβρέξῃς αὐτὸν πάγουρον συντετριμμένον μετὰ φύλλων κολίκ 〈λ〉 ω ν.

356 ἐὰν πάγουρον μὴ ἔχῃς, ὕδωρ ὄμβριον μετὰ γάλακτος αἰγείου· ἐὰν τοῦτο μὴ ἔχῃς, * ῥίζαν συντρίψεις μετὰ οἴνου ∞ α′. τοῦτο ποιήσεις, μέχρις οὗ ὑγιὴς ἔσται. 〈ἢ〉 οὕτως θεραπεύσεις· ὕδατι θερμῷ ἀντλήσεις δὶς τῆς ἡμέρας καὶ χήνειον στέαρ μετὰ ῥόδων μίξεις καὶ ἐναλείψεις οὕτως τε χρήσῃ * * Ὀφθαλμικό ν . [5]

357 Θεραπεία ὀφθαλμική. κρόκου γο ς′, σμύρνης γο α′, πεπέρεως γο α′ συντρίψεις μετὰ μέλιτος τοῦ καλῶς ἔχοντος καὶ εἰς πυξίδα πέμψεις χαλκῆν. Πρὸς λεύκωμα ὀφθαλμο ῦ .

359 Σαῦρον συγκαύσεις καὶ συντρίψεις καὶ προσζεύξεις μέλιτος τὸ ἱκανὸν καὶ χρῶ. Ἄλλ ο .

362 Πρὸς ὀφθαλμὸν φλεγμαίνοντα λιβανωτοῦ ἀμύλου, μέλιτος Ἀττικοῦ μιγέντα ἐγχριστέον, ἢ βουτύρου τὸ ἴσον ἐμβαλὼν ἢ σηπίας ὀστοῦν λειωθέντα διὰ καλάμου[ς] φυσητέον ἢ σιλφίου ῥίζης μετὰ ἐλαίου ἢ πίσσης δὶς τῆς ἡμέρας ὑπαλειπτέον. Πρὸς πάντα ἐν ὀφθαλμοῖς πάθ η . [5]

367 Ἅλας πεφρυγμένον καὶ λελειωμένον ὕδατος προσμιγνυμένου ἐγχριόμενον καλῶς ἐπιτήδειον. Ἱπποκράτους ὀφθαλμικό ν .

372 Ἀφόνιτρον καὶ ἔλαιον Ἄφρον καὶ κρομύου χυλὸν καὶ μέλι τρίψας εἰς ἓν χρῶ, ἢ τρύγα λευκὴν κατακαύσας καὶ λειοτριβήσας μετὰ μέλιτος ἐπίχριε, ἢ μίσυ καύσας καὶ λειοτριβήσας χρῶ, καὶ μὴ πολὺ βάλῃς, μὴ ἐγκαῇ· χρῖε δέ, ὅπου, ἕλκος οὐκ ἔστιν, ἢ κρόκου ὁλκὴν α′, σμύρνης τὸ ἴσον, πεπέρεως ὁλκῆς c ′, σχοίνου ἄνθους τὸ ἴσον, λιβάνου ἀτόμου χόνδρους γ′, ἅλατος ἀμμωνιακοῦ ὁλκῆς c ′, μέλι μίξας καὶ λειοτριβήσας χρῶ πρὸς τὰ λευκώματα, ὅπου ἕλκος οὐκ ἔστι. κάλλιστον δὲ καὶ τοῦτο· ὀδόντα 〈σ〉 κροκοδείλων καύσας καὶ λειοτριβήσας χρῶ, ἢ σκορπίους ὡσαύτως καύσας καὶ λειοτριβήσας χρῶ. Πρὸς 〈γλαυκώματα〉 καὶ ὑποχύσει ς . [10]

375 Ἔριον οἰσυπηρὸν καύσας μετὰ κριθῶν καὶ λειοτριβήσας ἴσον ἑκάστου μετὰ ἅλατος φρυκτοῦ καὶ μέλιτος χρῶ. Κουλλούριον Λυκίνου ὀφθαλμικό ν .

376

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀμόργης παλαιᾶς ∞ α′, οἴνου Μολοσσίου τὸ ἴσον, μέλιτος κοχλιάριον ἕν, ἐχίου βοτάνης ῥίζης γο α′, πολίου βοτάνης γο α′, ἀμμωνιακοῦ γο α′ λειοτριβήσας καὶ συνεψήσας χρῶ. Πρὸς ῥεῦμα ὀφθαλμῶ ν .

377 Χλοανὸν 〈ἀνα〉 κολλημάτι 〈ον〉 . οἴνῳ παλαιῷ καὶ ᾠοῦ τὸ λευκὸν καὶ ἄλφιτα μίξας ἐπίθες ἐπὶ τὸν ὀφθαλμόν, 〈ἢ〉 μίξας ἔλαιον μετὰ τοῦ ᾠοῦ. Ἀνακόλλημα ὀφθαλμῶ ν .

379 Μαλάγματος γο α′, σμύρνης τρωγλίτιδος γο α′, γύρεως χνοῦ ∞ α′ εἰς ᾠοῦ τὸ λευκόν. Ἄλλ ο .

380 Ἴρεως γο α′, μάννης γο α′, ᾠοῦ τὸ λευκόν. Ἱεροκλέους σκευασία κολλουρίω ν .

381 Ὄστρεον καύσας καὶ κόψας καὶ σήσας μέλιτι μίξας χρῶ. πρὸς δὲ ἐπιφορὰς ῥεύματος εἰς ὀφθαλμὸν ῥόδινον ἀνάδος καὶ ᾠοῦ τὸ λευκὸν ἐπίχριε. Ἄλλ ο .

382 Νίτρον θαλάσσιον ἐλαίῳ παλαιῷ μίξας χρῶ. Ἄλλο ὑγρὸν ποιοῦν πρὸς παλαιὰ καὶ χρόνια λευκώματα θαυμαστῶ ς .

385 Λυκίου γο ς′, λιβανωτοῦ ἀτόμου γο c ′, κρόκου ὁλκὰς β′, οἴνου αὐστηροῦ τὸ ἀρκοῦν. τὸ αὐστηρὸν βάλε καὶ τὸν λιβανωτὸν καὶ τὸν κρόκον λελειωμένα καὶ σεσησμένα, εἶτα τὸ λύκιον λειώσας, ὁμοῦ ἀνελόμενος χρῶ. Πρὸς ἕλκωσιν ὀφθαλμο ῦ .

387 Ἀμύλου γράμματα ς′, ἴου γράμματα β′, κόμμεως γράμμα α c ′ λειώσας ἐν ὕδατι, ταῦτα ἀναλάμβανε, καὶ ἀνιεὶς ἐν ἀκόνῃ δι’ ὕδατος ἐνάλειφε. Πρὸς ἑλκώσεις καὶ περιωδυνίας καὶ ἐπιφορὰς ῥευμάτω ν .

388 Ψιμυθίου πεπλυμένου ὁλκὰς δ′, ἀμύλου ὁλκὰς η′, κόμμεως ὁλκὴν α c ′ λειώσας καὶ ἀναλαμβάνων ὕδατι ὀμβρίῳ ἐαρινῷ ἢ μετοπωρινῷ χρῶ. Κολλούρια συριγγιακ ά .

390 Ἀναγαλ 〈λ〉 ίδος χυλοῦ, πρασσίου χυλοῦ, κράμβης κεκαυμένης τὴν σποδιάν, ἀνήθου ῥίζαν κεκαυμένην, πρωτοστάκτου [τὰ] ἴσα ποίει καὶ προλειώσας ἀνάπλαττε κολλούρια καὶ χρῶ. Ἄλλ ο .

391 Ἴρεως, χαμαιλέοντος, ἀριστολοχείας, κόμμεως ὕδατι λειώσας ποίει κολλούρια καὶ χρῶ. Ἄλλο ποιοῦν καλῶς καὶ ἐκτυλοῦν ἐκ βάθους καὶ ἀνάγον μετὰ ὀστέου τὰς σύριγγα ς .

392 Χαλκίτεως ὀπτῆς γο β′, μίσυος κεκαυμένου γο γ′, ἀμμωνιακοῦ γο α′. τὸ ἀμμωνιακὸν ἑψήσας δι’ ὄξους δριμέος πρόσμισγε τὴν χαλκῖτιν καὶ τὸ μίσυ προλελειωμένα. εἶτα λειώσας ἀνάπλαττε κολλούρια, τὰ μὲν ἐπιμήκη μύουρα, τὰ δὲ τροχοειδῆ, καὶ ἀποθέμενος εἰς βῖκον ὑελοῦν χρῶ. Ἄλλ ο .

393 Ἰοῦ γο β′, ἀρσενικοῦ γο γ′, κόμμεως γο α′. τὸ κόμμι τήξας ὄξει, τὸ δὲ ἀρσενικὸν καὶ τὸν ἰὸν προλειώσας μίσγε καὶ ποίει κολλούρια καὶ χρῶ. Ἄλλ ο .

394 Ἰοῦ γο β′, χαλκοῦ κεκαυμένου γο c ′, χαλκίτεως ὀπτῆς γο α′, κόπρου περιστερῶν γο α′, κόμμεως γο α′. τὸ κόμμι βρέξας εἰς ὄξους κύαθον α′, εἶτα πάντα λειώσας ἀνάπλαττε κολλούρια. Ἄλλ ο .

395 Τιτάνου μέλανος προσφάτου κεκαυμένου γο β′, νίτρου ἐρυθροῦ γο α c ′, χαλκίτεως ὀπτῆς γο δ′, φέκλης γο β′, πρωτοστάκτου γο ς′, ἀμμωνιακοῦ γο α c ′, τὸ[ν] ἀμμωνιακὸν τῆξον μετὰ τοῦ πρωτοστάκτου, ἔπειτα τὰ ξηρὰ λελειωμένα προσμίξας καὶ ἀναπλάσ[σ]ας χρῶ. Ἄλλ ο .

396 Ἰξοῦ τὸν χυλὸν μόνον ἀναπλάσ[σ]ας χρῶ. Ἄλλ ο .

397 Μέλι πρωτεῖον, λιβανωτὸν λελειωμένον πρόσμισγε. Ἄλλ ο .

398 Μέλι πρ(ωτεῖον) ἢ στίμι, κώνειον, χαλκῖτιν, ἴσα ποιῶν πρόσ[σ]μισγε. Ἄλλο καλὸν ὀφ 〈θ〉 αλμικό ν .

400 Οἴνου γλυκέος ∞ γ′, ᾠῶν γ′ τὰ λευκά, 〈ἐλαίου〉 γο γ′, πάντα συμμίξας χρῶ. Πρὸς τὰς ἐν ὀφθαλμοῖς οὐλά ς .

401

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ναρδοστάχυος γο α c ′, ἅλατος ἀμμωνιακοῦ γο γ′, ὑσσώπου γο ιβ′, καδμείας γο c ′, πεπέρεως γο α′ λειώσας χρῶ. Πρὸς ῥῆγμα ὀφρύο ς .

403 Ἐμπόρπησον τὰς τοῦ ῥήγματος ἀρχὰς καὶ μάννην μετὰ ᾠοῦ ἀπόθου καὶ χρῶ ὡς δοκίμῳ. Πρὸς ἐπιφορὰν ὀφθαλμῶ ν .

404 Σμύρνης ὀβολὸν α′, κροκοδείλου ἀφοδεύματος ὀβολὸν α′, ἅλατος ἀμμωνιακοῦ, σηπίας ὀστράκου ὀβολοῦ c ′, μέλιτος Ἀττικοῦ κυάθους β′, ταῦτα πάντα λειώσας χρῶ. Πρὸς σιμβλώσει ς .

405 Σμύρνης, κρόκου ἀνὰ γράμματα ς′, κροκοδείλου ἀφοδεύματος γράμματα β′, μέλιτος Ἀττικοῦ, μυελοῦ ἐλαφείου τὸ ἀρκοῦν. Κολλούριον πύξινο ν .

410 Βαλσάμου γο β′, κρόκου γο β′, σμύρνης γο β′, ἅλατος γο δ′, λεπίδος χαλκοῦ γο δ′, σηπίας ὀστράκου γο β′, ἀφονίτρου γο α′, ἀλκυονίου γο α′, μέλιτος Ἀττικοῦ γο α′. Κολλούριον ἐρύθριο ν .

411 Ὑσσώπου γο β′, κρόκου γο c ′, πεπέρεως λευκοῦ, λιβάνου ἄρρενος, κόμμεως, ἐλαίου ἀνὰ γο β′. Πρὸς ὀφθαλμίαν ἀρχομένη ν .

416 Πηγάνου γράμματα δ′, λιβάνου ἄρρενος, κόπρου περιστερᾶς, σμύρνης, ἐλαίου, μέλιτος πρωτείου ἀνὰ γραμμάτων δ′, ἐλαίου ῥοδίνου γράμμα ἕν. Πρὸς ὀφθαλμὸν κατάπλασμ α .

417 Ταυροκόλλῃ κερασ 〈ας ἀσ〉 φάλτου γο c ′, ζύμης σιλιγνίου τὸ ἀρκοῦν, λιβάνου ἀλεύρου γο δ′, ὄξους τὸ ἀρκοῦν. Πρὸς ἀπολεύκωσι ν .

421 Φύλλα κισσοῦ μασησάμενος πρόσπτυε κατὰ τοῦ ὀφθαλμοῦ ἐπὶ ἡμέρας γ′. Πρὸς τὰς ἐν ὀφθαλμοῖς οὐλά ς .

422 Νηστικῷ σιέλῳ καὶ ἅλατι ἀπότριβε καὶ λεπτυνθήσονται, ἢ μετὰ ἅλατος σηπίας ὄστρακον τρίψας χρῶ, ἢ σπέρμα σινήπεως ἀγρίου χυλίσας διὰ ὀθονίου εἰς τὸν ὀφθαλμὸν στάζε. πᾶς δὲ τῶν ὀφθαλμῶν πόνος ἐν χρίσει μέλιτος ἀκάπνου καταπαύεται. εἰ δὲ μὴ εὑρεθῇ ἄκαπνον, κἂν γοῦν καπνισθέντι θυμιακῷ χρῶ. εἰ δὲ μηδὲν τούτων εὑρεθῇ, φλοιὸν παλαιᾶς βύρσης καύσας καὶ ξηρίον ποιήσας ἔμβαλε κατὰ τοὺς ὀφθαλμοὺς καὶ χρῷ ὡς δοκίμῳ. Κολλούριον κάλλιστο ν . [5]

424 Σμύρνης γράμματα γ′, κρόκου γράμματα γ′, πεπέρεως λευκοῦ γράμματα γ′, πεπέρεως μελάνου γράμματα β′, βαλσάμου γράμματα β′, μέλιτος Ἀττικοῦ γο ς′, σελίνου γράμματα γ′. Σύνθεσις εἰς δύσπνοιαν καὶ καρδίαν κτήνου ς .

426 Φρύνου ὅλον ἧπαρ, ὄρυκος ὅλον, δαφνίδος γο ς′, σμύρνης τρωγλίτιδος γο δ′, κροκομάγματος γο γ′, καρδάμου σπέρμα γο β′, ὀπίου πυρροῦ γο α′, λιβάνου ἄρρενος γο β′, γῆς μήλων γο β′, ἀλόης γο β′, ῥόδων ξηρῶν γο α′, λάρικος γο γ′, ταῦτα εἰς ἓν συντρίψας χρῶ. Ἱπποκράτους πρὸς 〈καρδίας πόνον 〉 . [5]

429 Ἑστῶτος ἱδρὼς αὐτοῦ φέρεται καθ' ὅλου τοῦ σώματος πολύς, κατακλιθεὶς εἰς πλευρὸν δυσχερῶς ἀνίσταται. ἡμέραν δὲ πλείω οὐ ζῇ. Πρὸς ποδάγρα ν .

440 Ταῦτα δ′ ὀνόματα εἰς πέταλον κασσιτέρινον γράψεις ἐν γραφίῳ μὴ ἔχοντι τὸ λειοῦν, καὶ ἡμέρᾳ ἡλίου τὸν πόδα δῆσον ὃν πονεῖ, καὶ πάλιν μετὰ ἡμέρας λς′, ἥτις γίνεται λς′ ἡμέρα ἡμέρα ἡλίου, 〈λύε〉 . τὰ δὲ γραφόμενα ταῦτα· χεντιμα τεφῆκεν τέφρ α , γλύκαιν ε . Ἄλλ ο . [5]

441 Πέτελα δύο ὁμοίως γράφεις, καὶ τὸ πρῶτον εἰς ἀπόβατον ῥίπτεις, καὶ εὐθέως ἐκεῖ καθεζόμενος τὸ ἕτερον περιάπτεις. τοῦτο ποίει ἑνδεκάκις. καὶ τὸ ὕστερον οὐδὲν περιάπτεις, παρατηρησάμενος πρὸ[ς] μιᾶς ἔμψυχα καὶ σὺ καὶ ὁ περιαπτόμενος. ἐνδέχεται γὰρ τὸν περιαπτόμενον γράμματα μὴ εἰδένα. ἐὰν δὲ οἶδεν, αὐτὸς ἑαυτῷ περιάπτει. Τοῦ αὐτοῦ πρὸς αἱμόρροια ν . [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

443 Ῥύσιν αἵματος τὴν διὰ ῥινῶν ἵστησι κολιάνδρου χλωροῦ χυλός. Ἱεροκλέους πρὸς αὐτ ό .

444 Σπόγγον πισσώσας καὶ καύσας λείωσον μετ’ ὄξους καὶ κατάχριε τὸν ὀμφαλόν. εἶτα ψιμύθιον ἐπίθες καὶ παύσεται. Πελαγωνίου πῶς χρὴ πλῆθος αἵματος ἐκ τοῦ οὐρανίσκου κατιὸν ἐπέχεσθα ι .

445 Ὅταν ἀφαιμάξῃς ζῷον ἐκ τοῦ οὐρανίσκου καὶ τὸ αἷμα ἐπισχεῖν μὴ δυνάμενος, σπογγάριον ψυχρῷ ἀποπλύνας ἐπίθες ἐπὶ τὴν κεφαλὴν καὶ τὸ στόμα καὶ τὰς ψύας, οὐ μὴν ἀλλὰ καὶ τὰ αἰδοῖα ψυχρῷ ἀπάντλησον. εἰ δὲ ταῦτα ἐπισχεῖν τὸ πλῆθος τοῦ αἵματος μὴ δυνηθῶσιν, ἀκακίας μελάνης καὶ ἀλεύρου λιβανωτοῦ ἴσην μοίραν εἰς ὄξος δριμύτατον κεράσας κατὰ πάσης τῆς κεφαλῆς ἐπίθες. Πρὸς τοὺς ἀπὸ μυκτήρων αἱμορροοῦντα ς .

446 Φακῆν καὶ ἔριον ἐλαίῳ βεβρεγμένον καύσας καὶ τὴν σποδιὰν αὐτῶν ἐρείξας διὰ καλάμου εἰς τοὺς μυκτῆρας ἐμφύσα. Ὀφθαλμικό ν .

451 Ἀρσενικοῦ γο α′, σμύρνης γο α′, πεπέρεως λευκοῦ γο γ′, πεπέρεως μακροῦ γο γ′, κρόκου γο γ′, πομφόλυγος ⍰ ς′, ἀμύλου γο γ′, ὀποβαλσάμου γο γ′, σηπίας ὀστράκου γο γ′, μέλιτος τὸ ἱκανόν. Σύνθεσις ἀνακολλήματο ς .

452 Κροκομάγματος ⍰ α′, μάννης ⍰ α′, πόλλινος ∞ γ′, ᾠὰ ι′, βολβῶν Ἄφρων ⍰ α′, ὄξους τὸ ἱκανόν. Ὀφθαλμικό ν .

453 Σμύρνης γο β, κρόκου γο β′, νάδρου 〈σ〉 πικάτου γο α′, καδμείας γο β′, πομφόλυγος γο β′, πεπέρεως λευκοῦ γο β′, μέλιτος Ἀττικοῦ γο ς′, σπαράγου ῥίζης γο ς′, οἴνου Φαλερηνοῦ κυάθους γ′ ** πομφόλυγος γο ι′, μολίβου κεκαυμένου γο γ′, ὀπίου γο γ′, μέλιτος Ἀττικοῦ γο γ′. ταῦτα πάντα τὰ προγεγραμμένα πέμψεις προσενεγκὼν εἰς θυΐαν καὶ συντρίψεις, εἶτα συμμίξας πέμψεις εἰς σκεῦος μολυβοῦν καὶ ἐπιχρίσεις τὸ κτῆνος. ἐὰν μὴ οὕτως δύναται τῆς θεραπείας τυχεῖν, ἀφέλῃς αὐτοῦ αἷμα ἀπὸ τῶν κροτάφων τὸ ἱκανὸν ἔχον καὶ τῷ αὐτῷ φαρμάκῳ ἐναλείψεις, μέχρις οὗ ὑγιὴς γένηται. Ὀφθαλμικό ν .

454 Πομφόλυγος πεπλυμένης, σμύρνης τρωγλίτιδος, κρόκου Σικελοῦ, πεπέρεως λευκοῦ ἀνὰ γο δ′, ἀπτῆρος ἀρσενικοῦ γο γ′, ὕδατος κυάθους β′, ἀπτῆρος ἄλλου γο β′. Ὀφθαλμικὸν πρὸς λευκώματ α .

455 Σαῦρον συγκαύσεις καὶ συντρίψεις καὶ προ 〈σ〉 ζεύξεις αὐτῷ μέλιτος τὸ ἱκανὸν καὶ οὕτως χρίσεις. Σύνθεσις ἐγχυματισμοῦ πρὸς 〈βῆχα 〉 .

459 Πτισάνης ∞ α′ καὶ χοίρεα ποδάρια ἕψει μέχρις αὐτὰ 〈τα〉 κερωθῇ, καὶ διηθήσας ἐγχυμάτιζε. ἐὰν δὲ ἐπιμείνῃ βήσσων, αἰγείου στέατος ⍰ α′, καὶ πτισάνης ∞ α′ καθεψήσας ἐγχυμάτιζε. ἐὰν δὲ ἐπιμείνῃ βήσσων, προβέου στέατος ⍰ α′ καὶ κόγχου ∞ α′. ἕκαστον δὲ τῶν προγεγραμμένων χρήσῃ ἡμέρας γ′. ἐὰν δὲ ἐπιμείνῃ βήσσων, χοιρέου στέατος ⍰ α′ καὶ γλυκέος ∞ γ′ καθέψει καὶ ἐγχυμάτιζε ἡμέρας γ′, καὶ παύσηται τῆς βηχός. Ἀλεξίππου πρὸς πᾶσαν βῆχα Χειρώνειο ν .

460 Κατάπομα μὲν διαβεβαιοῦμαι μὴ γίνεσθαι, ἀλλὰ πλάνον εἶναι ὑπὸ τῶν δοκούντων ἐξάγειν τὰ ὀστέα καὶ ὅ τι οὖν ποτε μᾶλλον, καὶ τοὺς ὀφθαλμοὺς ἐπᾴδουσιν οἱ τοιαῦτα πράσσοντες· ἡ δὲ ἀρτηρία τραχύνεται καὶ ἡ φάρυγ ξ . δεῖ οὖν πτερίζεσθαι τὴν φάρυγγα, 〈διὰ〉 διαστολέως ταυρείας τὸ ἄρκον κεκομικώς, βρέχεσθαι δὲ εἰς μέλι καὶ καθίεσθαι μέχρι κάτω τῆς ἀρτηρίας, ἐπάνωθεν δὲ ὄξει καὶ ῥοδίνῳ ἐξ ἴσης ἐγχυματίζεσθαι, ἵνα ἀποστύφηται καὶ ἀποψύχῃ. ἑψεῖσθαι δὲ εἰς τὴν αὔριον ἡμέραν πίσσης ὑγρᾶς γο ς′, θείου ἀπύρου γο δ′, σκόρδων κεκαθαρμένων γο ς′, πράσσου χλωροῦ λελειωμένου γο ς′, ὀξυγγίου ⍰ γ′. ταῦτα ὁμοῦ ἑψήσας καὶ διυλίσας ἐπίβαλε δαφνίνου γο δ′, κυπρίνου γο δ′, ἰρίνου γο δ′, καὶ ἀναταράξας εἰς αὔριον ἔασον καὶ τυπώσεις ἀνάλου ὀξυγγίου παλαιοῦ ⍰ γ′ καὶ εἰς τὸ φάρμακον ἔγχριε βρέχων. δίδου ἡμέρας γ′, ὡς ἵνα τὸ ἥμισυ τοῦ φαρμάκου συμπεριέλθῃ τοῖς κολλουρίοις. τοῦτο μὲν προλέγω, τῆς ταυρέας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσερχομένης εἰς τὴν φάρυγγα μέχρι τῆς ἀρτηρίας, ὅτι καὶ ἔμφραγμα, 〈εἴ〉 που ἐφέστηκεν, διὰ τὸ τὴν ταυρέαν διωθεῖσθαι μεταβέβ[λ]ηκεν ἐκ τοῦ τόπου καὶ κάτω διὰ τῆς ἕδρας ἐξελεύσεται, ἢ ἡ βὴξ ἔξω αὐτὸ ἀκοντίσει, ἂν ᾖ διαπεπαρμένον. Ἄλλο δ ι ’ ὀξυγγίου διδόμενον πρὸς ψυγμὸν καὶ θηρίων ἐμβολὰς καὶ διεγεῖρον τοὺς ὄγκους ἡμέραις ϛʹ ἕως * εἰς ἓν ζεῦγος κτηνῶ ν .

461 Ὀξυγγίου ⍰ ιβʹ, τήλεως ⍰ ϛʹ, ὀρόβου ἠλεσμένου ∞ ϛʹ, θερμίνου ἀλεύρου ∞ ϛʹ, μέλιτος ∞ δʹ, πίσσης ὑγρᾶς ∞ αʹ, οἴνου χρηστοῦ ∞ ϛʹ, ταῦτα ἐν αὐτοῖς μιγέντα ἀρκετά ἐστι, καὶ τυπωθῇ κολλούρια καὶ διδόσθω ἡμέρας ϛʹ, καὶ ἐπάνω οἴνῳ καταφυσάσθῳ. ἡ δὲ ὅλη σωτηρία ἐν τῇ δόσει ταύτῃ ἠρεμία ἐστίν. ταῦτα δὲ διὰ πείρας ἔχων ἔγραψα. Πρὸς 〈βῆχα 〉 .

464 Βουτύρου γο βʹ, πίσσης ὑγρᾶς ∞ δʹ, μίξας ὁμοῦ διάχριε τῇ ταυρίᾳ. Ἄλλ ο .

465 Ὠιὰ βρέξας ὡς ἔχει μετὰ τῶν λεπύρων ἐν ὄξει δριμυτάτῳ διδοῖς ὁλόκληρον, ἐπὶ πλεῖστον δὲ τὸ ὄξος, ἵνα λυθῇ τὰ λέπια τῶν ᾠῶν. Πρὸς στόμαχον καὶ δύσπνοιαν καὶ βῆχ α .

468 Στρουθίου ῥίζης γο αʹ, ἑλενίου ῥίζης, τουτέστι ῥάστου γο αʹ, ἀνήσου σπέρματος γο αʹ, καὶ καθ’ ἑκάστην γο αʹ τῶν προγεγραμμένων πεπέρεως κόκκους ξαʹ, καὶ μέλιτος ἀρκοῦν. καὶ λαμβάνειν δεῖ πρωῒ κοχλιάρια βʹ, μετὰ τὸ ἄριστον κοχλιάριον αʹ καὶ ὀψινῆς κοχλιάρια βʹ. Εὐμήλου πρὸς 〈βῆχα〉 πρόσφατο ν .

470 Τὴν νεαρὰν βῆχα ἰᾶται κτλ. μέχρι τῆς κατὰ φύσιν ὑγιείας. ἔστι δὲ φυσικὸν δόκιμον, ἐὰν λάπαθον ἄγριον ἓν ἀκέραιον μετὰ τῶν φύλλων καὶ τῶν ῥιζῶν εἰς ῥάκος ἐνδήσας τῷ τραχήλῳ περιάψῃς. τούτῳ χρῶ ὡς δοκίμῳ. Πρὸς βῆχα χρονία ν .

471 Βῆχα χρονίαν τῇ τῆς γαστρὸς καθάρσει θεράπευε ἐμβαλὼν σικύου ἀγρίου κλάσματα ηʹ, ῥητίνης τερεβινθίνης σφαιρία βʹ κυάμου μέγεθος. μετὰ σκίλλης ἥμισυ καὶ ὕδατος κοτύλης c ʹ μίξας διὰ τοῦ μυκτῆρος ἔμβαλε. Ὑπὸ βηχὸς ἀρτηρίας ἑλκωθείση ς .

474 Ἐὰν κατὰ βάθος ἑλκωθῇ τὴν ἀρτηρίαν, τραχύνεται καὶ βήσσει πυκνότατα καὶ τὴν τροφὴν οὐ προσίεται κατὰ λόγον. τὸ γὰρ παραπέμπον αὐτὴν μόριον ἥλκωται τὸ ζῷον καὶ ἀμελεῖ τοῦ σιτίζεσθαι καὶ κολάζεται. θεραπεία δὲ τοῦ πάθους ἥδε· ἐγχυματίζεται σύκων ἀφεψήματι δι’ ὕδατος [καὶ] ἐς τρίτον καταλειφθέντι, δυεῖν ᾠῶν τῷ ὕδατι προσμιχθέντων, εἶναι δὲ τὸ ὕδωρ μὴ πλέον ∞ αʹ Ἰταλικοῦ, μηδὲ ἧττον ὄντα ιγʹ σῦκα [εἰς ∞ ὕδατος Ἰταλικὸν ἑψεῖσθαι ⍰ ἄγοντα]. ἢ πτισάνης χυλὸν καλῶς ἑψημένον, εἶτα ᾠῶν ἀνακοπτομένων ἐν τῷ χυλῷ βʹ ἢ γʹ ἐγχυματίζειν διὰ τοῦ στόματος 〈 ∞ 〉 Ἰταλικὸν αʹ. Ἕτερον βοήθημ α .

487 Πράσσιον βοτάνην μετὰ σμύρνης καὶ λιβάνου καὶ οἴνου παλαιοῦ, οὐ μὴν ἀλλὰ καὶ μέλιτος πρωτείου συμμίξας ἐγχυμάτιζε. Πρὸς βῆχα ἵππου ἰσχυροτέραν καὶ ὅταν αἴσθῃ τὸ στόμα αὐτοῦ κακῶς [ἀνα]πνέον ἢ δάκρυα παρὰ λόγον ἐκπίπτουσι, μάννη〈σ〉 γο δʹ, σμύρνης γο δʹ, λιβάνου γο βʹ, κρόκου γο αʹ, τραγακάνθης γο αʹ, μέλιτος ἀπαφρισθέντος γο δʹ, ὑσώπου δεμάτιον ἕν, μετὰ οἴνου παλαιοῦ πάντα μιγέντα ἐγχυμάτισον, καὶ ἕως δ’ ἂν ὑγιάνῃ χλιαρῷ ὕδατι πότιζε.

489 Πρὸς βῆχ α . Χρὴ τοῖς βήσσουσι ζῴοις δίδοσθαι ᾠὰ ζεσθέντα ἐπὶ ἡμέρας γʹ εἰς ὄξος ἐμβληθέντα. δώσεις δὲ ἐκ τούτων ἓν καθ’ ἑκάστην. Πρὸς βῆχα καὶ βαρύτητα κεφαλῆ ς .

490 Ῥόδινον ἤτοι ὀλίγον ἔλαιον πρωτεῖον μετὰ ὕδατος χλιαροῦ διὰ τῶν ῥινῶν ἔγχεε ἐπὶ ἡμέρας γʹ. Πρὸς βῆχα ὅμοιο ν .

495 Βολβοὺς Μαγαρικούς, κρόκον καὶ σκόρδα Γαλ〈λ〉ικὰ καὶ λινόσπερμον, τῆλιν, ἄλευρον κρίθινον ὁμοῦ λειώσας καὶ κόψας ποίει σφαιρία· μετὰ μέλιτος ἢ ὑγροπίσσης δίδου. Ὁμοία θεραπεί α .

499

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πράσιον βοτάνην, ἣν Ῥωμαῖοι καλοῦσι μαρρουβία ν , λείωσον καὶ μετὰ ἐλαίου ὀλίγου καὶ ἅλατος, οὐ μὴν ἀλλὰ καὶ οἴνου γλυκέος μῖξον καὶ οὕτως ἐγχυμάτισον. Πρὸς βῆχα ξηρὰν ἢ καὶ ἀρτηρίας συνεσφιγμένας καὶ πρὸς ἀνάπνοιαν καὶ σπασμοὺς κάλλιστον βοήθημ α .

503 Ὑσώπου ⍰ α′, τήλεως ⍰⍰c ′, τραγακάνθης ⍰⍰c ′, σκόρδα Γαλλικά, πηγάνου χλωροῦ ⍰ c ′, ἅπαντα ὕδατι ἑψήσας καὶ ἀποτριτώσας δίδου τῷ βήσσοντι ζῴῳ ἐπὶ ἡμέρας γ′, τῷ δὲ βουλσῷ ἐπὶ θ′. Ὅμοιο ν . [5]

513 Ἀνήθου ὀξύβαφον, ἴριδος ὀξύβαφον, πηγάνου γράμμα ἕν, ἐλαίου 〈 ⍰ 〉 τὸ τέταρτον συμμίξας ἀπὸ πρωῒ διὰ τοῦ στόματος δώσεις. Πρὸς βῆχα καὶ βουλσοὺς ἤτοι περιπνευμονίας χρήσιμον πάν υ .

517 Πάνακος ῥίζης γο β′, θείου ἀπύρου γο α′, λιβάνου ἄρρενος γο β′, σμύρνης τρωγλίτιδος γο δ′ ὁμοῦ συγκόψας, ἐκ ταύτης τῆς κατασκευῆς κοχλιάρια β′ μετὰ β′ ᾠῶν καὶ οἴνου εἰς τὰς φάρυγγας ἐπίχεε. Πρὸς ἀνάπνοιαν ἤτοι βῆχ α . [5]

520 Βοτάνην, ἣν Ἕλληνες μὲν περδίκιον, Ῥωμαῖοι δὲ ὀρκιολαρὲμ ὀνομάζουσι ν , κόκκους δάφνης, ῥίζης ἀγριοσίκυος γράμματα ε′ ἐν ἑνὶ συγκοπέντα καὶ σησθέντα μετὰ ἡμίνας ὕδατος καὶ ἑνὸς κυάθου ἐλαίου ἐγχυμάτισον. Ἄλλο 〈πρὸς βδέλλαν 〉 . [5]

529 Ἐὰν βδέλλαν καταπίῃ, ὑπτιάσας ἐλαίῳ θερμῷ ἐγχυμάτιζε διὰ κέρατος. ψαύσαντος δὲ τοῦ ὑγροῦ ἀποπεσοῦνται. ἐὰν δὲ δυνατὸν ᾖ δέχεσθαι, κονιάσαντα τὴν χεῖρα 〈ἐξαιρεῖν〉 σπόγγῳ τε ἐπιλαμβανόμενον σίδήρῳ προ[ς]πυρώσαντα προσκαίειν. Ἀψύρτου περὶ τοῦ γνῶναι 〈εἰ〉 ἄρρεν ἢ θῆλυ συνείληφε ν . [5]

532 Ἄψυρτος Πουπλίῳ Παιανίῳ χαίρειν. εἰδέναι σε θέλω γίνεσθαι παρὰ Σαρμάταις ἐνίας, καὶ συμβαίνειν ἀπὸ τῆς γεννήσεως εἰς τοὺς ιδ′ μῆνας παραγινομένην τὴν ἱππίδα κίνησιν ἔχειν τῆς κατὰ φύσιν καθάρσεως καὶ προσίεσθαι τὸν ἄρρενα καὶ συλλαμβάνειν καὶ κυοφορεῖν τὸν ἴσον ταῖς ἄλλαις χρόνον καὶ ζῳογονεῖν, τίκτουσαν δὲ πόνους ἔχειν μεγάλους, ὥστε κραυγὰς ἀποτελεῖν καὶ μυγμούς. κυήσασα δὲ καὶ θεασαμένη τὸ[ν] νεογνὸν φεύγει ἀπ’ αὐτοῦ καὶ φοβεῖται προσελθεῖν. συγκλείουσιν οὖν αὐτὴν εἴς τι περίφραγμα καὶ προσφέρουσιν αὐτὸ καθαρίσαντες, καὶ εἶθ’ οὕτως πείθεται τιτθεύειν καὶ τελειοῦν. λέγεται δὲ καὶ τοῦτο παρατετηρῆσθαι αὐτοῖς, ὅταν ἐπίτεξ ᾖ ἡ ἵππος καὶ τὸ οὖθαρ προχαλάσῃ μᾶλλον ἐκ τοῦ δεξιοῦ μέρους [καὶ τὴν θηλήν], ἄρρεν αὐτῇ γίνεσθαι, ἐὰν δὲ τὸ εὐώνυμον, θῆλυ γίνεσθαι. ὀχευομένη δὲ ἡ ἵππος ὅταν οὐρήσῃ ἐπὶ βοτάνης τινός, παρατηροῦσι τὸν τόπον σημειούμενοι, καὶ τῇ ἐπαύριον ἐὰν εὕρωσιν ἐξηραμμένην τὴν βοτάνην, συνειληφέναι λέγουσιν αὐτήν. ὅταν δὲ γένηται ὠμοτοκῆσαι τὴν ἵππον καὶ ἐκτρῶσαι, χαίτην ἔχων οὐ ῥᾳδίον περιγινέται. Περὶ ἀρτηρία ς . [20]

534 Ἐὰν ἀρτηρία ἐνοχλεῖν ἄρξηται, βαρὺ πνεῖ καὶ κατὰ τῶν ῥινῶν ἀφρὸν πέμπει καὶ οὐδὲν ἕτερον ἢ κοιμᾶσθαι δεῖ 〈ται〉 . ᾠῶν 〈οὖν〉 ε′ τὰ ἔξω καὶ μέλιτος καὶ χαλκοῦ φλοὸς γο α′ καὶ νίτρου γο α′ καὶ οἴνου ∞ γ′ δώσεις ἐπὶ ἡμέρας, ἄχρις οὗ ὑγιάνῃ, πιεῖν. Ἕτερον πρὸς πνευμονίαν καὶ βουλσού ς . [5]

541 Κάλλωσον χοίρειον μετὰ ὕδατος διεψήσας ὥστε γενέσθαι αὐτὸ εἰς ὁμοιότητα κόλλης, τοῦτο διὰ κέρατος ἐγχυμάτισον. Ἱπποκράτους πρὸς ἧπα ρ .

547 Εἰς τὸ ἧπαρ ἐάν τι γένηται, αἷμα ἀφαιρεῖ αὐτοῦ ἀπὸ τῶν μυκτήρων. σημεῖα δὲ ταῦτα· ὅλος τρομώδης γίνεται καὶ τοὺς ὄχρεις ἀνασπᾷ καὶ πίπτει καὶ τῆς τροφῆς οὐχ ἅπτεται. ἔσονται δὲ καὶ ὑπὸ τὰς μασχάλας ἀποστήματα, οἱ ὀφθαλμοὶ λευκοῦνται καὶ διαρροϊσθήσεται. ὁ τοιοῦτος οὐ ζήσει πλεῖον ἡμέρας. Περὶ 〈πόλυπος ἐν ῥινί〉 . [5]

553 Ἐὰν πόλυψ αὐτὸ ἐνοχλῇ, οὐδὲν ποιήσεις. ὑποστρώσεις αὐτῷ, ἵνα μὴ κυλιόμενος αὐτὸν στρέψῃ μηδὲ ἐκβράσ[σ]ηται. ἐὰν ἄρξηται καὶ αἷμα ἀποπέμπειν ἀπὸ τῶν μυκτήρων, οὕτως θεραπεύσεις·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λιβάνου γο ϛʹ, νίτρου, ὀπίου, πηγάνου ἀνὰ γο ϛʹ μετὰ οἴνου αὐστηροῦ ∞ αʹ ἐγχυμάτισον αὐτόν, μέχρις οὗ καλῶς ἔχῃ. ἔνιοι δέ φασι δεῖν βελόνας τρεῖς μακρὰς συνδήσαντας ἀναστρέψαν 〈τάς τε〉 τὴν κεφαλὴν πρῶτον αὐτὸν κατακεντεῖν, ἕως οὗ ἐξέλθῃ πᾶν, ἔπειτα κλύζειν οἴνῳ καὶ ἐλαίῳ παραχρῆμα, καὶ ταῖς ἄλλαις ἡμέραις ὁμοίως, ἕως ἂν ὑγιάνῃ. Περὶ ἀτονία ς .

555 Ἐὰν δέ ποτε συμβῇ τῇ δυνάμει ἐνδεῆ γενέσθαι τὸν βοῦ ν, προσφέρειν αὐτῷ τοῦ ὀρόβου ἔρεγμα ποιήσαντα. κατάρρανον ὕδατι, ὥστε εἶναι βεβρεγμένον καὶ μὴ εἶναι διάβροχον, πλῆθος ἡμιχοίνικον 〈ἢ〉 τρίτον τῆς χοίνικος. ὅσα δὲ τῶν ἄλλων συμβαίνει τῶν ἀρρωστημάτων ἐν αὐτοῖς, χρησώμεθα βοηθήμασι τοῖς περὶ τοὺς ἵππους. Πρὸς βουλσοὺς ἐγχυματισμό ς .

559 Ἑπτὰ σκώληκας τοὺς εἰς τὴν γῆν γεννωμένους καὶ οἴνου κυάθους ζʹ καὶ ἐλαίου κυάθους βʹ, ᾠὰ βʹ, ταῦτα πάντα εἰς ἓν συμμίξας, θερμάνας ἐγχυμάτιζε. Πελαγωνίου πρὸς βουλσοὺς ἁπλοῦν καὶ θαυμαστὸν βοήθημ α .

560 Εἰς κονδῖτον ∞ γʹ πρὸ τριῶν ἡμερῶν φάβατος ἡμῖναν βρέξας καὶ ταύτην καθαρίως λειώσας ἐπὶ γʹ ἡμέρας κέρατι προσάγαγε. Ἕτερον πρὸς βουλσού ς .

561 Βρέξον φάβα ἐν οἴνῳ παλαιῷ καὶ μετὰ ταῦτα λειώσας τοῦτο προσάψεις αὐτῷ ἐλαίου τὸ καθʼ ἥμισυ τοῦ οἴνου μέρος, οὕτω μέντοι, ἵνα ἔσονται οἴνου ∞ γʹ καὶ φάβατος ∞ αʹ. ταῦτα πάντα ὁμοῦ λειώσας ἐπὶ γʹ ἡμέρας δίδου. Ἄλλ ο .

562 Σκόρδον Γαλ 〈λ〉 ικὸν κατακόψας καθαρίως καὶ προσάψας βοτάνην σιδηρῖτιν, ἣν Ῥωμαῖοι καλοῦσιν παριεταρία ν , καὶ ταύτην ἅμα τῷ σκόρδῳ καθαρίως λειώσας μετὰ ἀξουγγίας παλαιᾶς ποίησον παστίλλους, καὶ τούτους ἐπὶ γʹ ἡμέρας ἀνίσους δός. Κολλητικὸν πρὸς βουλσοὺς κάλλιστον βοήθημ α .

563 Τραγακάνθης βεβρεγμένης γο βʹ, τήλεως ἡμῖναν, λινοσπέρμου ∞ ϲ ʹ, ταῦτα τὰ γʹ εἴδη ἔμβρεξον ὕδατι, καὶ στέατος τραγείου ⍰ αʹ, μυελοῦ ἐλαφείου γο βʹ, ῥίζης δρακοντίας γο ϲ ʹ, γεντιανῆς γο αʹ, κενταυρίου γο αʹ. πρότερον μέντοι τὴν βεβρεγμένην τραγάκανθαν καὶ τὴν τῆλιν, οὐ μὴν ἀλλὰ καὶ τὸ λινόσπερμον καθέψησον ἐν αὐτῷ τῷ ὕδατι, ἐν ᾧ ἐτύγχανε βεβρεγμένα, καὶ μετὰ ταῦτα πάντα ὁμοῦ συμμίξας καὶ λειώσας εἰς χύτραν βάλε μετὰ ἑψήματος ∞ γʹ, καὶ αὖθις ἑψήσας ἐπὶ γʹ ἡμέρας δώσεις τῷ ζῴῳ. Ἕτερον βοήθημα Ἠμερίτο υ .

564 Χοίρειον ἀκρονάριον εἰς ὕδωρ ἑψήσας καὶ ὄξος τὸ ἴσον, καὶ τοῦτο βαλὼν εἰς χύτραν μετὰ ἑψήματος ∞ γʹ καὶ πτισάνης γο αʹ ἤδη ἀποβεβρεγμένης, οὕτω μέντοι, ἵνα καὶ τὸ ὕδωρ, ἐν ᾧ τὸ ἀκρονάριον ἑψήθη καὶ ἡ πτισάνη ἐβράχη, μετʼ αὐτῶν ἑψηθῇ, τούτοις προσάψας ταυρόκολλαν καὶ ὄξους δριμέος 〈 ∞ 〉 δʹʹ, πάντα ἅμα ἕως τοσούτου ζέσον, ἕως ἂν εἰς χυλὸν μεταβληθῶσι. χωρὶς δὲ τραγάκανθαν καὶ τῆλιν καὶ λινόσπερμον ἐμβεβρεγμένα θερμῷ καθέψησον, καὶ μετὰ τὸ ἑψηθῆναι τρίψας ἐν θυίᾳ μαρμαρίνῃ ἐπίβαλε τὰ προλεχθέντα εἴδη καὶ αὖθις ταῦτα ἕψησον. μετὰ δὲ τὸ καθαρίως ταῦτα καθεψεῖσθαι πρόσμιγε χυλοῦ τῆς προλεχθείσης παριεταρίας ἤτοι σιδηρίτιδος βοτάνης καὶ μυελὸν ἐλάφου μετὰ στέατος τραγείου, καὶ πάντα, ὡς ἔφημεν, συνεψήσας προπότισον διὰ κέρατος ἐπὶ ἡμέρας ζʹ ἢ θʹ. δίδου δὲ τοῦτο τὸ προπότισμα πρὸς λαμπρὸν χλιάνας. εἰ δὲ ὑπεράγαν ἐστὶ παχύτερον, πλέον τι ἑψήματος βάλε. Πρὸς νεαροὺς βουλσού ς .

565 Κεφαλὴν ἀρνειοῦ εἰς ὕδωρ ἀφέψησον ἕως τοσούτου, ἕως δʼ ἂν ὅλον λυθῇ, καὶ πρόσαψον αὐτῷ ὀλίγον μέλιτος, καὶ ἐκ τούτου δίδου διὰ κέρατος νηστικῷ[ς] ἐπὶ ἡμέρας ζʹ. Πρὸς ἐντέρων πόνο ν .

572 Σεσέλεως Γαλλικοῦ ∞ αʹ, κυμίνου Αἰθιοπικοῦ ∞ αʹ, κωλίκ 〈λ〉 ους βʹ, ῥυτῆς μικρόν, ἐλαίου ∞ δʹ, οἴνου ∞ αʹ, μαλαγαλβάνης ⍰ βʹ, ὀποπάνακος ⍰ βʹ, κηροῦ ⍰ βʹ, ῥητίνης Κολοφωνίας ⍰ γʹ, ῥητίνης τερεβινθίνης ⍰ βʹ, στύρακος ⍰ αʹ, βδέλλης ⍰ αʹ, μυελοῦ ἐλαφείου ⍰ αʹ, προπόλεως γο ϛʹ, στέατος ταυρείου γο ϛʹ, φύλλων δάφνης ⍰ αʹ, μάννης ⍰ αʹ, ἐλαίου παλαιοῦ ⍰ αʹ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεπέρεως λευκοῦ γο ς′, μήκωνος γο ς′, ἀμμωνιακοῦ ⍰ γ′, ῥητίνης ⍰ α′, ἀπτῆρος ἀρσενικοῦ ⍰ α′, ἐλαίου δαφνίνου ⍰ α′, ἰρίνου ⍰ α′, ὑσσώπου ⍰ α′. Περὶ σπάσματος τῶν ἐντό ς . [5]

583 Ὅσοι δέ τι τῶν ἐντὸς ἐσπασμένοι εἰσὶν ἵπποι ἢ ἄλλα ὑποζύγια, κοιλαίνονται τοὺς ὀφθαλμοὺς καὶ τὰς λαγόνας ἀνασπῶσι καὶ τρώγοντες καὶ πίνοντες ἰσχνοῦνται καὶ περιπατοῦντες μικρὰ διαβαίνουσιν, ἑστῶτες δὲ τοὺς ὀπισθίους εἰς τοὺς ἐμπροσθίους προσάγουσι πόδας καὶ μᾶλλον παρέλκουσι χρόνον. ἐὰν αἷμα ἀπουρήσωσιν ἢ ἀφοδεύσωσιν ἢ τὴν τροφὴν διὰ τῶν μυκτήρων φέρωσιν, κινδυνεύουσι. δεῖ δὲ ὅμ[οι]ως θεραπεύειν ἀγωγῇ τοῦ φθισικοῦ. Περὶ κλυσμῶ ν . [5]

588 Σίκυος 〈χυλοῦ〉 ὅσον πόσεις δύο, * ὅσον κύαμος διεμένου ὕδατι καὶ μέλιτι μικτῷ κλύσον καὶ ἐξείποις * Περὶ κλυσμῶ ν .

590 Τρύγα καὶ μέλι μίξας κλύζε καὶ περίαγε, ὡς ἂν στῇ τὸ χύμα. Περὶ ἐντέρων στροφῆ ς .

591 Κνῖπας ἄφες ἐπιλαβέσθαι τοῦ ἐντέρου καὶ ἀπόκοψον τὰς κεφαλὰς καὶ ἄφες φύειν, εἶτα ῥάπτε καὶ ὑπόπ〈λ〉ασσε κενταύριον. Περὶ ἀπορρήγματο ς .

596 Ἐντελέστερον διελθεῖν ἄξιον περὶ τῶν ἀπορρηξάντων τι τῶν ἔνδον. καὶ ὅτι ἐστὶν ἐπικίνδυνον δῆλον, κἂν μὴ λέγωμεν. ἐὰν μέν τι τῶν κώλων ἢ ἐντέρων διαρραγῇ, σημεῖον γίνεται τοῦτο· ἀναφέρει τε τὴν κόπρον διὰ μυκτήρων καὶ ἱδροῖ. ἐὰν δὲ τὴν κύστιν, ὅπερ ἂν πίῃ, παραχρῆμα διὰ τῆς ἕδρας ἐκκρίνει. ἐὰν δέ τι τοῦ πνεύμονος πάθῃ, αἷμα διὰ τῶν μυκτήρων ἀνάγει. ἐὰν δὲ τὸ ἧπάρ τι πάθῃ, τὸ αἰδοῖον οἰδεῖ καὶ ἡ κοιλία καὶ οἱ μηροί. ἐὰν δὲ ὁ σπλήν, φθίνει καὶ τὴν τροφὴν οὐ προσίεται πᾶσαν. ἐὰν δὲ οἱ νεφροί, αἷμα οὐρεῖ. τῶν μὲν οὖν κώλων ἐάν τι διαρραγῇ ἢ ἡ κύστις, οὐδὲν ἂν ποιήσαις βοηθήσας. ἐὰν δὲ ὁ πνεύμων ἐμπαθὴς γένηται, ἀλεύρου ὀρόβων χοίνικας β′ φυράσας καὶ ἁλῶν ἐμβαλὼν ὀξύβαφον μικρὸν καὶ πλάσας ἄρτον, εἶτα κατακαύσας τρῖψον λεῖον, καὶ ὅταν ποτίζῃς, ἐπίπασσε τῷ ποτῷ. ἐγχυμάτιζε δὲ καὶ διὰ στόματος οὕτως· κρόκον, σμύρναν, νάρδον Συριακήν, κιννάμωμον, κασσίαν, κόστον, ἀριστολοχείαν τὴν λεπτήν, λάσ[σ]αρος, σελίνου, δαύκου, ἀγρώστεως, ἑλενίου, ταῦτα πάντα τρίψας λεῖα ἐπιχέας μέλιτος ὀξύβαφον καὶ οἴνου διαχύτου κοτύλην α′ ἔγχει διὰ μυκτῆρος. ἐγχυματίσας δὲ τρὶς ὡς πλεῖστον χρῷ τῷ χυλῷ τῷ διὰ πτισάνης. τὸ δὲ ἧπαρ καταστήσεις ῥοΐζων καὶ ἄλευρον πύρινον ποτίζων χειμῶνος, θέρει δὲ κρίθινον, καὶ ἐγχυματίζων πτισάνην. πρὸς δὲ τὸν σπλῆνα περιπατεῖν ποίει καὶ ἐγχυμάτιζε σῦκα ἑψήσας. πρὸς δὲ τοὺς νεφροὺς τροφὴν παράβαλλε τὴν βελτίστην, καὶ ἐν ἀνέσει ἔχε τὸ κτῆνος καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ. Πῶς χρὴ θεραπεύειν ἵππον ἐν ἐντέροις φθεῖρας ποιήσαντ α . [25]

600 Τὸ τοιοῦτον πάθος νοεῖται ἐκ τοῦ συνεχέστερον διαστρέφεσθαι τὸν ἵππον. κατασκεύαζε τοίνυν βοήθημα· κοριάνδρου χυλὸν καὶ σινήπεως τὸ ἀρκοῦν, ὀποπάνακος ὀλίγον μετὰ ὑδρομέλιτος καὶ ὀλίγου ἐλαίου συμμίξας δίδου. Ἐὰν ἵππος ἔντερα πονέσ η , βοήθημα δύσπιστον καὶ παράδοξον πρὸς τὸ τοιοῦτον πάθο ς . [5]

603 Εἰ τὸ ὄνομα τοῦ δεσπότου ἐπάνω τοῦ κύκλου τοῦ δεξιοῦ ὄνυχος τοῦ ἵππου γραφίῳ ἐπιγράψεις, εὐθέως ἰαθήσεται. Κατασκευὴ κλυστῆρο ς .

606 Χυλὸν πιτύρων μετὰ νίτρου καὶ ἄνθους μαλάχης ἀγρίας ξηροῦ γράμματα β′, ἐλαίου καὶ οἴνου ∞ c ′, καὶ ἐὰν ἄνεμον μὴ ἐκπέμψῃ, προσθήσεις τῷ κλυστῆρι καὶ ἀφοδεύματος περιστερῶν γράμματα δ′, καὶ μετὰ τὸ κλυστηριασθῆναι ἀναπατήσει, καὶ πάλιν ἱκανὸν ἀναπαῇ. πρὸ δὲ τοῦ κλυστῆρος ἀπαντλήσεις τὴν κοιλίαν αὐτοῦ ὕδατι θερμῷ. Ὅμοιον 〈εἰ κόπρον ὀρνίθων φάγῃ〉 . [5]

612 Ἀλεκτρυόνα σφάξον καὶ τὴν κοιλίαν αὐτοῦ μετὰ τῆς κόπρου ὠμὴν δὸς τῷ ζῴῳ καταπιεῖν. βέλτιον δὲ ποιῶν [σ]κῦφι ἐν οἴνῳ λύσας πρόσαγε καὶ εὐθέως ἰάσῃ τὸ ζῷον. Ἄλλ ο .

613

Ἐὰν ἵππος τὰ ἔντερα ἀλγήσῃ, νηστικὸς γ′ εἰς τὴν ὄψιν αὐτοῦ ἔμπτυσον. Πρὸς τοὺς τὰ ἐντὸς πάσχοντας τοὺς ὑπὸ νόσου πειραζομένους προπότισμ α .

616 Τούτῳ τῷ βοηθήματι καὶ οἱ ξηροὺς ἔχοντες τοὺς μυκτῆρας εὐχερῶς θεραπεύονται· πτισάνης πεφρυγμένης χυλὸν ὡς κυάθους β′ διδοῖς ἐπὶ ἡμέρας γ′, μετὰ δὲ ταῦτα ποίει οὕτως· λαβὼν ὑσώπου γο β′, φοίνικας κ′, πηγάνου χλωροῦ δεμάτια β′, τήλεως καὶ φάβατος κυάθους ϛ′, πάντα εἰς ὄμβριον ὕδωρ ἀφεψήσας δίδου, πρότερον μέντοι χλιάνας. Ἄρτυσις οἴνο υ .

621 Σχοίνου ἄνθους μ ε δ′, κασσίας σύριγγος μ ε δ′, σμύρνης τρωγλίτιδος μ ε δ′, ἀλόης ἡπατικῆς μ ε α′, λιβάνου μ ε α′, πεπέρεως μ ε α′, μαστίχην μ ε α′, ταῦτα τρίψας καὶ κοσκινεύσας ἕκαστον κατ’ ἰδίαν μῖξον καλῶς, καὶ λαβὼν γύψου κεκαυμένου [μ ε ] ⍰ β′ βάλε εἰς διακοσίους ∞ ∞ οἴνου καὶ κίνει ἐπὶ ἡμέρας β′, καὶ μετὰ ταῦτα βάλε ἐκ τοῦ ξηρίου εἰς τοὺς διακοσίους ∞ ∞ κοχλιάρια γ′ καὶ κίνει ἐπὶ ἡμέρας ε′ ἡσύχως καὶ φίμωσον τοὺς πίθους καὶ περίφραξον τὰς θύρας καὶ τὰς θυρίδας τῆς ἀποθήκης ἐπὶ μῆνας ϛ′, ὥστε ἄνεμον μὴ εἰσέρχεσθαι. Εὐμήλου 〈περὶ〉 κοιλίας ῥεύσεω ς .

621* Ἐὰν κοιλία ῥέῃ, αἷμα διὰ τῶν ἐν τῇ κεφαλῇ φλεβῶν ἀφαιρείσθω. πινέτω δὲ χλιαρὸν ὕδωρ μετὰ κριθίνων ἀλεύρων. ἐπέχει δὲ κοιλίαν ῥέουσαν καὶ σίδια ῥοᾶς κοπέντα καὶ διὰ τοῦ στόματος ἐμβληθέντα. Περὶ καθάρσεως κοιλία ς .

623 Ἐὰν καθαίρηται κατὰ κοιλίαν—συμβαίνει δὲ τοῦτο ἀπὸ δρόμου πλείονος, ἀπὸ πνευματώσεως ἢ ἀπὸ προσφορᾶς [ἢ ἀπὸ σφυρῶν ἢ ἀπὸ] φαυλότητος—αὐτὸν θεραπεύειν οὕτως· τὰς ἐν τῇ κεφαλῇ φλεβοτομῶν φλέβας καὶ τὰς ἐν τοῖς ἐμπροσθίοις σκέλεσιν, ἕως εὐμενῶς ὦσιν, ἢ ὕδωρ μετὰ κριθίνων ἀλεύρων, τὰ δὲ κρίθινα μὴ πολλά, καὶ προάξεις εἰς περίπατον, λούσεις δὲ ὕδατι μὴ πολλῷ. ἐνδόσεως μὴ γενομένης ἐπὶ τὸν διὰ τῶν ῥινῶν ἐγχυματισμὸν ἐλθέ, καὶ προσκαταπλάσσων * * ἀναζέσας, τρίψας μετὰ οἴνου ἐγχυμάτιζε μετὰ δ′ ἡμέρας συνεχῶς. Περὶ εἰλεώδου ς .

624 Τοὺς εἰλεώδεις χρὴ κλύζειν διὰ σεύτλων ἀφεψήματος καὶ νίτρου καχλ 〈άκ〉 ων μετὰ βδελλίου τετριμμένου [καχλων α′] συνανατετριμμένων ἀλλήλοις λούειν τε καὶ σκεπάζειν ἐπιβ 〈λ〉 ήμασι καὶ καίειν πῦρ πλησίον. τροφὴν δὲ διδόναι μάλιστα μὲν γράστιν ἢ χόρτον ἁπαλώτατον. ἐὰν δὲ 〈τοῦτο〉 μὴ παρασκευάσηται τὸ σφήνωμα, τὴν χεῖρα καθετέον λελειασμένην καὶ ἐκκομίζειν τὰ ἐμφράγματα. ἐγχυμάτιζε δὲ καὶ σεύτλων σπέρματι μετὰ οἴνου καὶ ἐλαίου κοτυλῶν ϛ′. ἐὰν δὲ μὴ ᾖ τὸ σπέρμα, ἀποξύσας ἀπὸ τῶν ἐμπροσθίων ποδῶν τοὺς ὄνυχας τρίψας μετὰ οἴνου κοτυλῶν γ′ παράβαλον, τούς τε ῥώθωνας ἐγχυμάτιζε. ἐκκομισάμενος τὰ ἐμφράγματα ἅλας τετριμμένον συμμίξας μέλιτι εἰς τὴν ἕδραν ὡς ἐνδοτέρῳ μάλιστα 〈ἔνθεσ〉 . Πελαγωνίου περὶ ὀδόντων ποσότητο ς .

628 Ὁ ἵππος ἔχει ὀδόντας μβ′ * * τὸ πρόβατον ἔχει ὀδόντας κα′, ὁ τράγος ἔχει ὀδόντας κε′, ἡ αἲξ ἔχει ὀδόντας κζ′, 〈ὁ ταῦρος ὀδόντας * 〉 ὁ ἐκτετμημένος βοῦς ἔχει ὀδόντας κδ′, ἡ θήλεια βοῦς κδ′, ὁ ἀνὴρ ἔχει ὀδόντας λβ′, ὁ εὐνοῦχος ἔχει ὀδόντας κθ′, ἡ γυνὴ ἔχει ὀδόντας λ′. Ἀψυρτος ὅσον κύει ἵππος χρόνο ν .

629 Ἵππος τίκτει ἀπὸ τῆς συλλήψεως ἐν μησὶ ια′ καὶ ἡμέραις ι′. ἐὰν δέ ποτε συμβῇ τάχιον κυῆσαι μῆνας ἔχουσαν θ′ καὶ ἡμέρας κ′, ἀνατρέφεται τὸ τοιοῦτο καὶ τελειοῦται· ἀποκρίνουσι δὲ αὐτὸ[ν] ἀπὸ τῆς ἀγέλης, καὶ ἐὰν θήλεια γένηται· ποιοῦσι 〈γὰρ〉 λειπόχρονα. Εὐμήλου πρὸς τὸ ἵνα ἀποβάλ ῃ .

631 Λιβυστικοῦ φύλλα χλωρὰ λειούμενα δίδου πίνειν, πρότερον μέντοι τροφῆς ἀπεχέσθω. θέρμων πικρῶν γο α′ μετὰ ὄξους ∞ c ′ καὶ στακτῆς ∞ c ′ δίδου ἐπὶ ἡμέρας θ′ πιεῖν. Ἱπποκράτους περὶ ἐμβρύου ἀποβολῆ ς .

632

Ἐὰν ἔμβρυον ἐκβάλῃ, κυλίεται καὶ ἡ γαστὴρ φυσᾶται. ἐγχυμάτιζε δὲ κύμινον, ἔλαιον εἰς τὸ αὐτὸ μίξας, ἑκάστου τὸ αὔταρκες .. τῇ ἵππῳ μάραθρον μετὰ ἑψήματος καὶ ἐλαίου ἐγχυμάτιζε, ὁμοίως θύμου ἀποτέμνων τὰ ἄκρα ἐγχυμάτιζε καὶ κατόρθου καυτηρίοις. Περὶ χωλείας ἐπὶ γόνασ ι . [5]

635 Ἐὰν δὲ ἀπὸ μηδεμιᾶς προφάσεως χωλὸς γένηται, πράσσα θλάσας ἐν ὅλμῳ ἕψει ἐν ὕδατι καὶ τοῦτο πότιζε μίσγων νίτρῳ, ἢ τῇ ῥίζῃ τοῦ σικύου κάθαιρε. ἐκ κεφαλῆς δὲ ἐὰν γένηται, τέμε ἀπὸ τοῦ ἄρθρου τοῦ ἰσχίου ἀπολείπων δακτύλους δʹ βαθεῖαν ἄχρι πρὸς τὸ ὀστοῦν ἐπικάρσιον τὴν τομήν, καὶ ἔπειτα τὸν δάκτυλον εἰς τὴν τομὴν ἐμβαλὼν παράφερε ἔνθα 〈καὶ ἔνθα〉 τὸ σκέλος, καὶ ἐάν τι τῷ δακτύλῳ προσκρούῃ νεῦρον, τοῦτο δίελε τῷ μαχαιρίῳ, καὶ τὴν τομὴν διάλειψον πίσσῃ ὑγρᾷ καὶ ἁλσί. 〈Πρὸσ〉 κεφαλῆς πόνο ν . [5]

645 Ἐὰν κεφαλῆς πόνος ᾖ, ταῦτα σημεῖα σχήσει· κατὰ τῶν ὀφθαλμῶν φλεγμονὴ καὶ διὰ τοῦ στόματος ἀποβάλλει ὡς τράκτο ν. χρὴ οὖν ζεστῷ ὕδατι τὴν κεφαλὴν αὐτοῦ ἀντλεῖν καὶ τρυφερᾷ κοιμήσει χρῆσθαι. ποίει δὲ καὶ ἀφαιρέσεις αἵματος ἀπὸ τῶν ὀφρύων, καὶ φύλλα ἐκ τριφύλλου συντρίψεις καὶ πιεῖν αὐτῷ δώσεις. ἐὰν τοὺς ὀφθαλμοὺς ἀνατεταμένους ἔχῃ, δεήσει αὐτοῦ αἷμα ἀφελεῖν ἀπὸ τοῦ τραχήλου καὶ τοῦ κρανίου, εἶτα λήψῃ ἅλατος γο γʹ, κινήσεις μεθʼ ὕδατος καὶ ἐγχυματίσεις αὐτόν. ἐὰν τοῦτο μὴ σχῇς, γῆς ἐντέροις· εἰς ∞ βʹ οὔρου παλαιοῦ πέμψας κατερείξεις καὶ ἐγχυματίσεις διὰ τοῦ ἀριστεροῦ μυκτῆρος. Ἕτερον βοήθημ α . [10]

655 Ἄλευρον κρίθινον συμμιγὲν ῥητίνῃ ἐπίθες. ὀφείλεις δὲ φροντίσαι, ἵνα τὸ λοιπὸν σῶμα ἄλλοις προποτίσμασι περιοδευθῇ οὕτως· παγούρους ποταμίους ζʹ κατακοπέντας, γάλακτος αἰγείου ∞ αʹ καὶ ἐλαίου κύαθον αʹ διυλίσας καθαρίως διὰ τοῦ στόματος προπότισον. εἰ δὲ γάλα καὶ παγούρους μὴ εὑρήσεις, ὑδρόμελι ποίησον ἀπὸ μέλιτος κυάθων γʹ καὶ πεπέρεως λευκοῦ σταθμὸν ὀβολοῦ ἑνός, κρόκου γρα. βʹ. ταῦτα συντρίψας διὰ στόματος δίδου. Ἕτερον βοήθημ α . [5]

657 Ἄλευρον κρίθινον μετὰ παστίλλου οἷον εἴπομεν ἐν τῷ θέρει, εἰ δὲ χειμὼν ἔσται, μετὰ ἀλεύρου σιτίνου τῷ αὐτῷ τρόπῳ δώσεις. Ἐὰν ἵππος ἐν τῷ ἐγκεφάλῳ κρουσθ ῇ .

659 Ἵππον ἐντεῦθεν χρὴ νοεῖν, ὅτι περ ἐν τῷ ἐγκεφάλῳ ἐκρούσθη, ὅτε εὐθέως σπασμοὺς ὑπομένει καὶ σιαίνεται, λοιπὸν φοβεῖται τὴν τροφὴν καὶ ὅλος εἰς τὸ ἔμπροσθεν μέρος διατείνεται. χρὴ δὲ τοῦτον εἰς τοὺς κροτάφους φλεβοτομεῖν καὶ σπόγγια Ἄφρα ἐξ ἴσου μετὰ ὄξους καὶ ῥοδίνου ἐπιθεῖναι τῇ κεφαλῇ αὐτοῦ. τροφὰς δὲ αὐτῷ παρέχειν χλωράς, ἃς εἰ ἀποστραφῇ, φάβα ἠλεσμένον αὐτῷ μετὰ ἀλεύρου σιτίνου πρόσαγε, καὶ ὑδρόμελι διὰ κέρατος αὐτῷ εἰς τὰς φάρυγγας ἔμβαλε, ἕως ἂν τῆς χλωρᾶς ἐπιλάβηται τροφῆς, εἰς ἣν ἅλμην ὀλίγην ῥάντισον. Εὐμήλου πρὸς ὑποτετριμμένους πόδα ς . [10]

666 Ἐὰν ὑποτρίψῃ ζῷον κτλ. τοῦτο καὶ βουσὶ βοηθεῖ καὶ ἁρμόζει γίνεσθαι. βοηθεῖ δὲ τοῖς βουσὶ τὸ πίσσῃ ἀλείφεσθαι τὰ κέρατα στερεῶς. εἰς δὲ τοὺς τῶν ζῴων πόδας ἐπὶ πολλὰς ἡμέρας ὄροβον μετὰ τῶν κριθῶν δός, ἢ κισσοῦ σπέρματος μέρη βʹ, στυπτηρίας στρογγύλης μέρος αʹ ἐγκόψας καὶ λειώσας χρῶ. Ἱεροκλέους περὶ θερμοπλήσεω ς . [5]

668 Ἡ θερμόπλησις μάλιστα ἐν τοῖς πάγοις συμβαίνει ὡς ἀλγεῖν πόδας. σχάζειν 〈οὖν〉 προσήκει ἀπὸ τοῦ ποδὸς οὗ ἀλγεῖ καὶ καταντλήσαντα καταπλάσσειν ἀλεύρῳ κριθίνῳ ἐν οἴνῳ κεκραμένῳ ἴσον πρὸς ἴσον, ἢ πίτυρα ἐν ὄξει ἑψηθέντα καταπλάσσειν, ἕως οὗ ὑγιάνῃ. Περὶ ἁπαλόποδο ς . [5]

669 Ἐὰν ᾖ ἁπαλόπους ἵππος, ἐπίκλυσον * * αὐτοῦ ἐπὶ τὰς ὁπλὰς ὀθόνιον, καὶ ἐὰν 〈μὴ〉 δοκῇ ἐστερεῶσθαι, λαβὼν στέαρ καὶ κηρὸν συνεπίτηξον, καὶ ἐπάνωθεν ἀσφάλτου, καὶ τοῦτο ποίει, ὁσάκις ἂν ἐπαισθάνηται τοὺς πόδας. ἢ ἄλλως, ὃ καὶ βέλτιον εἶναί μοι δοκεῖ, λαβὼν κτλ. 〈Ἀψύρτου〉 πρὸς τοὺς ἐθέλοντας βήσσειν καὶ μὴ δυναμένους διὰ παράθεσιν φλέγματο ς . [5]

678 Ῥᾳδίως γίνεται ὀχλεῖσθαι τὸν ἵππον διὰ παράθεσιν φλέγματος, καὶ συμφράσσεται ὁ βρόγχος καὶ τὴν ἀρτηρίαν πνίγεται καὶ θέλων βήσσειν οὐ δύναται. φέρεται δὲ διὰ τοῦ στόματος μυξῶδες ἀφρὸν ἔχον τὸ φλέγμα. βοηθεῖται δὲ ἐγχυματιζόμενος δι’ ἀριστεροῦ μυκτῆρος ὑδρελαίῳ ἢ νίτρῳ μεθ’ ὕδατος ἢ σύκων ἀφεψήματι 〈ἐν〉 τῷ ὕδατι, καὶ περιπατείτω, ἕως διατινάξεται καὶ σείσει τὴν κεφαλήν, ὥστε παρῶσαι τὸ φλέγμα, καὶ οὐκέτι κίνδυνον ἔχει. Ἱεροκλέους θερινὸν πρὸς τοὺς βήσσοντα ς . [10]

679 Λιβανωτὸς κοπεὶς καὶ σηθεὶς δίδοται οἴνῳ, ἢ συμμετρίᾳ τοῦ λιβανωτοῦ * κοχλιάριον. Σύνθεσις συγχρισμοῦ πρὸς ἵππον φρίξαντ α .

686 Κηροῦ γο ϛʹ, στύρακος γο βʹ, ῥητίνης τερεβινθίνης γο εʹ, δάφνης φύλλων γο ιʹ, ὀποπάνακος γο αʹ, μυελοῦ ἐλαφείου γο αʹ, ἴρινον τὸ συγκεράσαι δυνάμενον. Ἄλλ ο .

687 Ὀποπάνακος γο γʹ, στύρακος γο γʹ, ῥύτης γο βʹ, κροκομάγματος γο βʹ, ταῦτα ἐγχυμάτιζε. Πελαγωνίου πρὸς ἀφρίζοντα ἵππο ν .

688 Ἐὰν ἀφρίζῃ ἵππος καὶ περὶ τὴν τροφὴν ἀήδειαν ὑπομένῃ, βράθυ εἰς ὕδωρ ἀποβρέξας σμῆχε τὸ στόμα. πρόσβαλε δὲ καὶ φύλλα σχίνου διὰ τὸ εὔοσμον. Πρὸς ἀποστατικού ς .

689 Πύξου φύλλα καὶ κέδρου καὶ κωνείου ἕψησον εἰς ὕδωρ καὶ διηθήσας καλῶς προπότιζε, ὥστε ἀποκοιμηθῆναι καὶ λήθην αὐτὸν λαβεῖν τοῦ ἰδίου δαίμονος. καὶ μετὰ τοῦτο ἐξύπνιζε καὶ ποίει ἀναπατεῖν. εἰ δὲ καὶ λακτιστὴς ᾖ, τῷ αὐτῷ χρήσῃ βοηθήματι προσφέρων καὶ κατὰ τοῦ ὀμφαλοῦ ψυχρὸν ὕδωρ. χρῶ δὲ ὡς ἀληθεστάτῳ βοηθήματι. Ἱεροκλέους περὶ ἐχιοδήκτο υ . [5]

691 Δεινὸν ἐχίδνης δῆγμα καταχρισθὲν τιθυμάλλῳ παύεται. ὦ Χείρων, τοῦτό σε πῶς ἔλαθεν; οὐκ ἀφυῶς ὁ Κόϊντος ἀνεύρετο τέσσαρα ταῦτα· γεντιανήν, δάφνας, σμύρναν, ἀριστολόχην. Μῦς ἐὰν δάκῃ τὸ κτῆνο ς . [5]

696 Μῦς ἐὰν δάκῃ τὸ κτῆνος, οἰδαίνει ὅλον τὸ σῶμα. ἐὰν δὲ μυγαλῆ δάκῃ, χεῖρόν ἐστιν, ἐὰν ᾖ μακροτέρα 〈ἢ〉 ἐν γαστρὶ ἔχουσα δάκῃ. ἐξ αὐτοῦ τοῦ δήγματος ἐξελκοῦται. οὕτως θεράπευε. σκόρδων τῶν μειζόνων σύντριψον μετὰ νίτρου. ἐὰν 〈μὴ〉 σχῇς, μετὰ ἅλατος καὶ κυμίνου σύντριβε. ἐὰν μεῖζον οἰδῶσιν, ὄξει καὶ ἅλατι κατάντλει καὶ κριθὰς κατακαύσας καὶ συντρίψας μηδεμιᾷ ἄλλῃ θεραπείᾳ χρῶ. εἰ δὲ οὖν γε μείζονα γένηται τὰ ἕλκη, ἐπέμβρεχε αὐτῷ, ἐὰν θέλῃς, αὐτὰ τὰ ἕλκη. ἐὰν ταῦτα μὴ θεραπεύσῃ, καυτηρίῳ χρῶ. Πρὸς δῆγμα ἑρπετο ῦ . [10]

697 Κέρατα ἐλάφου καύσεις, εἶτα συντρίψεις ὡς κοτύλην αʹ, νυκτερί〈τι〉δος γο ϛʹ, ἐκλεκέβρης γο ϛʹ, τριξαγίνης γο ϛʹ, μυελοῦ ἐλαφείου γο ϛʹ. ταῦτα πάντα εἰς ἓν συντρίψας εἰς ὅλμον εἶτα εἰς ῥάκος ἢ εἰς δέρμα ἀναπλάσ[σ]εις. Πρὸς ἕρπη ν . [5]

703 Ἐὰν ἕρπη γένηται, ἀρσενικοῦ ὁλκαὶ βʹ, κονίας ἀσβέστου ὁλκὴ αʹ· τρίψας μετ’ ὄξους ἐπίχριε. ἢ χαλκίτιδος ὁλκῆς c ʹ, χαλκάνθου τὸ ἴσον, κονίας ἀσβέστου δʹʹ, ταῦτα κόψας μετὰ ὄξους χρῶ. Περὶ μυσ〈ιάσ〉εω ς .

704 Ἐὰν βούλῃ θεραπεῦσαι, λαβὼν ἀνθρώπου κόπρον ξηρὰν τρίψας ἐπίπασσε. Ἄλλο παρὰ Σευήρο υ .

712 τὸ αὐτὸ Ἀμάσεως 〈πρὸς τὸ ἐν οὐλῇ τοῦ ἄλλου σώματος τὰς τρίχας ὁμοίας ἐνεγκεῖν〉 . Ἀντίκροκον βοτάνην, ἥτις γίνεται ἐν τοῖς καταράγμασι τῶν ὑδάτων, ἥτις ἐστὶ παραπλησία τῇ ἐρυθρίδι, καὶ βρύον ἀπὸ ἕλους ξηράνας κόψον καὶ σῆσον. εἶτα μάξας μετὰ βουτούρου ἀπότ[ε]ιλον κατὰ μίαν τῶν τριχῶν καὶ ἐπίχριε, ὁποῖον ἂν ᾖ τὸ κτῆνος, ἐὰν μέλαν ᾖ, κέρας αἴγειον * * * Ἀψύρτου περὶ φθειριάσεω ς. [5]

722 Ἐὰν δὲ φθεῖρες γένωνται ἐν τῇ χαίτῃ ἢ καθ’ ὅλου τοῦ σώματος, κωνείου κόμην χλωρὰν τρίψαντας συγχρίειν. ἢ κυκλαμίνου ῥίζαν κόψας μετὰ ἐλαίου σύγχριε καὶ μετὰ μίαν ἡμέραν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπόσμηχε οὔρω ἢ θέρμων ἀφεψήματι, ἀποσμήξαντα δὲ πισσελαίῳ καταχρίειν τὰ ἐφθειριακότα μέρη. Περὶ φθειριάσεως ἐν τῷ στόματι τῶν βοῶ ν .

723 Φθειρίασις δὲ εἰ 〈ᾖ〉 ἐν τῷ στόματι, ἐπιγνωσθήσεται οὕτως· ἐσθίειν οὐ δύναται καὶ τὴν γλῶσσαν τραχεῖαν ἔχει σφόδρα. θεραπεύεται δὲ οὕτως· τὴν τοῦ ἀγρίου σικύου ῥίζαν χλωρὰν κόψας 〈σῦκά τε ξηρὰ〉 συγκεκομμένα περὶ τὴν ῥίζαν περιπλάσσων ἐσθίειν δίδου ἄχρις οὗ ἂν ὑγιὴς γένηται. τρῖβε δὲ καὶ τὴν γλῶσσαν αὐτοῦ καὶ τὸ στόμα χαμαιλέοντος ῥίζῃ καὶ τῇ σταφίδι τῇ ἀγρίᾳ. λειάνας δὲ ἐν τῷ αὐτῷ καὶ μίξας τῷ σικύῳ βάλε εἰς τὸ στόμα καὶ ἀπόδησον κατέχων ἐπὶ ποσόν. ἐὰν δὲ μὴ πρὸς ταῦτα παύηται τὸ πάθος, δεῖ κατακλίναντα τὸν βοῦν ἐκλαμβάνειν τὴν γλῶσσαν ἔξω καὶ τὰ περὶ αὐτὴν ψαλίδι ἀποκείρειν τοὺς λεγομένους φθεῖρας, ἅτινά ἐστι τραχέ[ι]α καὶ ὅμοια θύμῳ. ἀποκείραντα δὲ αὐτὰ ἐπικαίειν πλατεῖ καυτηρίῳ μὴ σφόδρα. Εὐμήλου πρὸς ἕλμιγγας καὶ σκώληκα 〈σ〉 .

724 Εἴωθεν ἐν τοῖς ἐντὸς τὸ γένος τῶν σκωλήκων καὶ ἑλμίγγων γεννᾶσθαι. τοῦτο δὲ γνωρίζεται διὰ συνεχοῦς τοῦ ζῴου κυλίσεως, πολλάκις δὲ εἰ[ς] τὴν κεφαλὴν εἰς τὴν κοιλίαν ἀπάγει καὶ τὴν σόβην διαστρέφει. καὶ τούτοις τοῖς σημείοις γνωρίζεται. ἐμβαλεῖν τοίνυν χρὴ τὴν χεῖρα κατὰ τῆς γαστρός, ὡς εἴπομε ν , καὶ τὰ περιττώματα μετὰ τῶν ἑλμίγγων ἀφέλκειν, ῥάπανον δὲ λελειωμένην μετ’ ὄξους ∞ α′ τῷ λαιμῷ ἐμβαλεῖν, καὶ οὕτως τοὺς σκώληκας καὶ τὰς ἕλμιγγας ἀποπνῖξαι. Πρὸς τοὺς ἐν ἑκατέρᾳ φύσε ι , ἀρρενικῇ καὶ θηλυκ ῇ , καὶ πρὸς τραύμασιν γινομένου ς .

725 Ἅλμῃ δριμείᾳ τὰς μελλούσας παρὰ τοῦ ζῴου κριθὰς ἐσθίεσθαι κατάρρανον. ἄλλοι δὲ ῥάφανον ἑψήσαντες ὕδατι τῷ ἀποζέματι τὰ φυσικὰ μόρια πυριάζουσιν. ἐκτινάσσονται δὲ καὶ ὕδατος ψυχροῦ ἐπιρρανθέντος ἢ πρασίου ἢ καὶ πράσσου χυλοῦ μιγνυμένου ἅλατι. τὰ δὲ τραύματα πίσσῃ καὶ ἐλαίῳ καὶ ὀξυγγίῳ θεραπεύονται κτλ. Πρὸς ἕλμιγγα ς .

731 Κοριάνδρου σπέρμα φρῦξον, ὅσον ἡ χεὶρ χωρῆσαι δύναται, καὶ τοῦτο λειώσας μετὰ ὕδατος χλιαροῦ διὰ κέρατος τῷ λαιμῷ ἐπὶ ἡμέρας γ′ ἔμβαλε, ἢ καρδάμ[ωμ]ου σπέρμα λελειωμένον μεθ’ ὕδατος καὶ ταῖς τοῦ ἵππου φάρυγξι ἐγχεθὲν τὸ αὐτὸ ποιεῖ. Πρὸς οἰδοῦντα νεῦρα ἐξ ὁδο ῦ .

742 Πρόσφατα ἂν ὦσιν, οὕτως χρήσῃ σφόγγοις καινοῖς καὶ ὄξει καὶ λάσαρι Κυρηναΐκῷ. Ἀψύρτου πρὸς 〈τοὺσ〉 κατέργους καὶ ἰσχναινομένου ς .

749 Τῷ δὲ κατέργῳ γεγονότι καὶ ἰσχνωθέντι δεῖ βοηθεῖν οὕτως· ὀρόβους λευκοὺς ἐρείξαντας ὅσον χοίνικα καταβρέχειν τὸ ἔρεγμα οἴνῳ λευκῷ εὐώδει κοτύλαις δ′ καὶ ἐᾶσαι ἡμέραν α′. ἐκ τούτου διδόναι τρίτον τοῦ χοίνικος καθ’ ἡμέραν μίαν πρὸ τοῦ ποτίζειν τὸν ἵππον ἐπὶ ἡμέρας λ′, καὶ τὰς κριθὰς φρύγοντα παραβάλλειν, καὶ εὐσταθήσει τῷ σώματι. ἔστω δὲ τὸ μέτρον τοῦ ἐρέγματος διάβροχον. Τοῦ αὐτοῦ 〈πρὸς τοὺσ〉 ἀλλήλοις μαχομένους ἐν φάτν η .

755 Ὅταν δὲ ὦσι χαλεπαίνοντες ἐν φάτνῃ πρὸς ἀλλήλους καὶ μαχόμενοι, ὥστε δάκνειν ἑαυτούς, καταβρέχεται τὰ δήγματα γάρῳ ἢ ἅλμῃ ἢ ὀξάλμῃ. τὰ δὲ κατὰ νεῦρον γινόμενα εὐχερῶς χωλοὺς ποιοῦσι. θεραπεύεται δὲ τῇ ἀλθαίᾳ, ὡς ἐπάνω γέγραπτα ι . Τοῦ αὐτοῦ πρὸς νεύρων πόνο ν .

756 Ἐὰν τὰ νεῦρα πονῇ, ζεστῷ ὕδατι χρήσῃ καὶ ἀνακολλήματι. χρὴ οὖν καὶ περιπάτῳ ἐλαφρῷ καὶ κοιμήσει ἁπαλῇ καὶ ψυχροῖς ἁπαλῦναι. τὴν τροφὴν δὲ δίδου τὴν ε 〈ἰ〉 θισμένην. Ἀνατολίου 〈περὶ〉 νεύρω ν .

757 Τὸν ὑπὸ νεύρων ὀχλούμενον κατάντλησον τὰ νεῦρα καὶ τὴν κεφαλὴν ὕδατι θερμῷ. ἔπειτα στέατος βοείου καὶ σμύρνης καὶ θείου ἐπιτιθεμένων [αὐτοῦ] χυτριδίῳ τὴν κεφαλὴν αὐτοῦ συγκαλυφθεῖσαν ὑποθυμία καὶ θέρμανον, ἀλλὰ μὴν καὶ κενώσει κοιλίας 〈χρῶ〉 καὶ ἐκ τῆς οὐρᾶς αἷμα ἀφαίρει. Ἀψύρτου πρὸς τὸ αὐτὸ δύναμι ς .

758

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὰς οὐρὰς ἑκατέρων πλύνας ἀμφοτέρους πότιζε αὐτῷ τῷ ὕδατι, ἢ ἑκάστου ὀνίδα διαλύσας ἐν ὕδατι τὴν ἀλλήλων δίδου πιεῖν. Ἄλλο χρήσιμον 〈πρὸς λεπτότητα〉.

791 Ἄγρωστιν, ἥνπερ πολλάκις οἱ γεωργοὶ τῷ ἀρότρῳ ἀποτέμνουσιν, συνάξας, ὅσην βούλει, καὶ πλύνας καθαρίως μετὰ κριθῶν καὶ ἀχύρων λεπτῶν δίδου καθʼ ἑκάστην· χρήσιμόν ἐστι. καὶ γὰρ πώλοις μικρὰν ἔχουσιν ἔτι τὴν ἡλικίαν τοῦτο συμβάλλεται. Ἄκοπον θερμαντικὸν τὸ παρὰ Χαρίτωνο ς , ποιεῖ νεφριτικοῖ ς , σχιακοῖ ς , παρετικοῖς καὶ πᾶσι τοῖς ἀπὸ ψυγμοῦ τι πάσχουσι ν .

837 ἄγει δὲ καὶ καταμήνια ἀνατριβόμενον κατὰ τοῦ ἤτρου καὶ τῶν ἰσχίω ν . θεραπεύει δὲ καὶ κωλικοὺς πτύγμα ἐπιτιθέμενον κατὰ τοῦ ὀμφαλο ῦ . Καστορίου, πεπέρεως, ἀδάρκης, εὐφορβίου, πυρέθρου, δαφνίδων, νάπυος λευκοῦ, χαλβάνης, ὀποπάνακος ἀνὰ γο β′, ἐλαίου παλαιοῦ [ἀνὰ] ⍰ β′, καπνελαίου Ταρσικοῦ ⍰ α′, γλευκίνου ἐλαίου ⍰ γ′, ἰρίνου ⍰ γ′, δαφνίνου, τερεβινθίνης ἀνὰ ⍰ α′, κηροῦ, ῥητίνης φρυκτῆς ἀνὰ ⍰ β′, νίτρου Ἀρταξ〈ατ〉ισίου γο β′. τὸν ὀποπάνακα προλειοῖς ὄξει, τὴν ὀξυγγίαν τήκεις καὶ διυλίζεις καὶ οὕτως μίσγεις. εἰς τὴν συσταθμίαν τὸν κηρὸν καὶ τὴν ῥητίνην καὶ τὴν ὀξυγγίαν καὶ τὸ γλεύκινον καὶ τὸ ἴρινον καὶ 〈τὸ〉 δάφνινον καὶ τὸ ἔλαιον βάλε, καὶ τήξας ἐπίβαλε τὴν χαλβάνην κόψας πάνυ. ὅταν δὲ καὶ ἡ χαλβάνη τακῇ, ἐπίβαλε καὶ τὴν τερεβινθίνην καὶ τήκεις ἡσυχῇ, καὶ διυλίσας ἐπίβαλε εἰς τὸν ὀποπάνακα, εἶτα τὰ ξηρά. ἐν δὲ τῇ χρήσει πρόσμιγε γλεύκινον ἢ ἴρινον τῷ φαρμάκῳ. ἐπὶ δὲ τῶν κωλικῶν καὶ τῶν ἐμμήνων καθʼ ἑαυτὸ τῷ φαρμάκῳ χρῆσαι. Τὸ Παρθενίου φάρμακο ν , ᾧ Δομέτιλλος κεχρῆσθαι συνεχῶς διεβεβαιοῦτ ο .

839 Ἔστιν δὲ ὁπλῶν πυκνωτικόν, στερεὰς καὶ ἀπαθεῖς τὰς ὁπλὰς ποιοῦν. ἀβόλοις δὲ ἢ πρωτοβόλοις ἢ δευτεροβόλοις ἁρμόττει τὸ φάρμακον, ἕως ἁπαλωτέρα ἐστὶν ἡ ὁπλὴ καὶ δεκτικὴ τοῦ φαρμάκου. χαλκοῦ κεκαυμένου γο γ′, ἀρσενικοῦ γο β′, μίσυος γο γ′, θείου ἀπύρου γο β c ′, ἀσφάλτου γο δ′, στυπτηρίας σχιστῆς γο γ′, κεδρέας ∞ c ′, σκίλλης, Κολοφωνίας ἀνὰ ⍰ α′, σαυρῶν κεκομμένων ὀρεϊνῶν ἐξ ἀνύδρων τόπων τεθρεμμένων ϛ′ ἢ ζ′, ὀξυγγίου παλαιοῦ ⍰ β′. κόπτε τὰ ξηρὰ καὶ σῆσον, τὰ δὲ τηκτὰ τῆκε, καὶ ἔμβαλε τὰς σαύρας ζώσας κόψας ἐν ὅλμῳ καὶ ἕψει ἐν χύτρᾳ καὶ τῆκε. ἔπειτα κίνει κερκίδι πυκνῶς, ἵνα μὴ ὑπερζέσῃ, ὑπαίθριον δὲ τοῦτο ποίει. πολλάκις γὰρ ὑπερζέσαν ἔφλεξε τὴν στέγην. τὴν μέντοι κεδρέαν, ἐπειδὰν μετρίως ἑψηθῇ τὰ μεμιγμένα, τότε ἔμβαλε καὶ συνέψει, μέχρις ἂν γλοιοῦ πάχος γένηται. τότε προσάγειν ταῖς ὁπλαῖς τὸ φάρμακον δεῖ, τρίβοντα καὶ προεκμαλάσσοντα πρότερον αὐτάς, ἵνα πλησιάσῃ αὐταῖς τὸ φάρμακον. τοῦτο ἐπὶ ἡμέρας μ′. αἴσθησις δέ ἐστι τοῦ φαρμάκου μετὰ ι′, ἀφʼ ἧς ἂν προ〈σ〉αχθῇ τὸ φάρμακον. ἄρχεται γὰρ ὑπαλλάσσεσθαι ἡ ὁπλὴ ἀπὸ τῆς στεφανίτιδο ς. δεῖ δὲ ἐντρίψαντα μὴ ἐνοχλεῖν τοῖς κτήνεσιν, ἀλλὰ περὶ ὥραν θ′ ποτίσαντα τρίβειν καὶ συνάγειν, ἵνα διὰ πάσης νυκτὸς ὁμιλήσῃ τὸ φάρμακον. μεθʼ ἡμέρας δὲ ε′ γυμνάζειν τὸ κτῆνος. ἐπειδὰν δὲ προσάγῃς τὸ φάρμακον, εὐλαβεῖσθαι χρή, μὴ προσάψῃ τῶν τριχῶν τῆς στεφάνης, καὶ γὰρ λυμαίνεται τῇ σαρκί. ἐπιμελεῖσθαι δὲ προσήκει τῶν χελιδόνων καὶ ὑποστύφειν σιδήρῳ. ἀπὸ γὰρ τῆς στάσεως περιττότεραι γίνονται καὶ αὐξάνουσαι συ〈σ〉σήπονται καὶ ἐνοχλοῦσι τῷ μεσοκυνίῳ τῆς ὁπλῆς. Περὶ ἄρθρω ν .

887 Ἐὰν τὰ ἄρθρα πονῶσιν, ταῦτα τὰ σημεῖα σχήσει· περιπατεῖν οὐ δύναται οὐδὲ ὑπνώσσειν, καὶ φλεγμαίνει ἀπʼ αὐτῶν τῶν ἄρθρων. χρὴ οὖν πολλοῖς θεραπεύμασι χρῆσθαι, καὶ καρδάμῳ καὶ οἴνῳ λελειωμένοις δακτύλου μεγέθει ἐπιχρίειν, καὶ αἷμα αὐτοῦ ἀφελεῖν, εἰ δʼ οὖν γε, ἀνοίγειν. Ὅτι δεῖ προ [σ ]καθαίρειν χλοάζοντ α .

913 Κάλλιον δὲ προκαθαίροντα τὸν ἵππον διὰ τοῦ σικύου καὶ τοῦ νίτρου χλοάζειν, καὶ ἔσται εὐρρωστότερος καὶ 〈εὐ〉σαρκότερος ἐκ τῆς γράστεως ἢ τοῦ βοσκήματος. Περὶ παθῶν βοῶ ν .

916

Τὰ δὲ περὶ τοὺς βόας συμβαίνοντα πάθη καὶ τὰ πρὸς αὐτὰ βοηθήματα ἄριστα γέγραπται Μάγωνι τῷ Καρχηδονίῳ τῇ Φοινικί 〈δι〉 διαλέκτ ῳ . καὶ ἄλλοις δὲ γέγραπται, ὧν ἡμεῖς παραθέντες τὰ ἐνοχλοῦντα μάλιστα ἐπιδείξομεν καὶ τὰς πρὸς αὐτὰ[ς] θεραπείας. ἐνοχλεῖ δὲ μάλιστα τοὺς βόας ταῦτα· * * * Εὐμήλου βοῶν θεραπεία καὶ περὶ σωτηρία ς . [5]

917 * τὴν ἴσην τοῖς βουσὶ παρέχει σωτηρίαν κάππαρις σὺν ἐλαίας ἤτοι μυρσίνης φύλλοις, ἀγρίας μέντοι, ἔτι δὲ κηκὶς κυπαρισσίνη, οἴνῳ ἀφεψηθέντα καὶ διδόμενα. πρότερον μέντοι γε τὰ προγεγραμμένα εἴδη βαλὼν εἰς ὕδωρ μίαν ὕπαιθρον νύκτα κατάλιπε μαραίνεσθαι. Περὶ τῶν ὑπὸ τοῦ οἴστρου ἐνοχλουμένω ν . [5]

919 Πρὸς δὲ τὸν ὑπὸ τοῦ οἴστρου ἐνοχλούμενον ἀψίνθιον ἐν ὕδατι τρίψας, ἄλειφε τὸν βοῦν τοῦτο ἐφ' ἡμέρας τινὰς καὶ ἀποκωλύσει τὸν οἶστρον, ἢ πάλιν τρίβων χρῖσον. Σύνθεσις ἐμπλάστρου διὰ βοτανίω ν .

921 Χαλβάνης κτλ. μέχρις ὅτου μάλαγμα γένηται. οὕτως χρήσῃ πρὸς τὸ κτῆνος. ἀποστήματι, ὅσον γεγένηται τὸ ἱκανόν, χρῶ. ἐξ οἴνου καὶ ἐλαίου εἰς τὸν χειμῶνα τοῦτο φάρμακον θερμότερον ποιήσεις καὶ οὕτω χρήσῃ· ὅτε συγχρίσεις τὸ κτῆνος, ὑποθήσεις αὐτῷ κάρφος περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἐπάνω σάγον περιβάλῃς αὐτόν, ἵνα τὸ αἷμα αὐτοῦ τὸ ἔμπλαστρον συμπίῃ, ἵνα συγκολληθῇ αὐτῷ τῷ σώματι .. Ἐὰν ἰὸν χαλκοῦ ποιήσῃ, εἰς τόπον θερμὸν στηκέτω, καὶ δίδου αὐτῷ πιεῖν θερμὸν ὕδωρ καὶ φαγεῖν ἀκέραιον, ὅσον δύναται τρώγειν, μέχρις οὗ τὸ πάθος αὐτὸ ἐκτινάξῃ, καὶ καθ' ἡμέραν σύγχρισον τὸ κτῆνος, μεχρὶς οὗ ὑγιὲς γένηται. Ἱεροκλέους καυστικὸν ἐπὶ τῶν χαλασμάτων τῶν ἐν τοῖς ἄρθροις καὶ οἰδημάτων ἐν οἱῳδήποτε τόπῳ [ ἐν τοῖς ἀρθροῖς καὶ οἰδημάτων ἐν οἱῳδήποτε τόπ ῳ ] ἐκ πληγῆς ἢ ἄλλης τινὸς αἰτίας ἢ αὐτομάτω ς , 〈ἢ〉 ὅσα βούλει διαλῦσαι σκληρώματα ἢ μελικηρίδας προσφάτους διαχέαι · [ἢ] ἀσφάλτου στατῆρας η', ῥητίνης Κολοφωνίας στατῆρας δ', κηροῦ στατῆρας ἕξ, χαλβάνης καὶ ὀποπάνακος καὶ τιτάνου ἀνὰ στατῆρα α', ταῦτα ζέσας ἐν τῷ αὐτῷ χρῖε θερμάνας. [5]

957 Ἄλλο κατάχρισμα τρυφερὸν συγχαλαστικό ν . Ῥητίνης Κολοφωνίας γο ϛ', ἀξουγγίου ? α', λινόσπερμον ἀσσαρίων γ', αἰγοκερωτὴν ἀσσαρίων β', κριθίνου ἀλεύρου ∽ α', ἐλαίου ἡμῖναν α'. Καυστικό ν .

959 Τιτάνου μέρος προσφάτου καὶ τρυγὸς οἰνηρᾶς κεκαυμένης τὸ ἴσον φυράσας κονίᾳ σχινίνῃ ἢ ἀπὸ καλάμης κυάμου ἢ ἀπὸ ἐλαίας πυρήνων, τούτῳ χρῆσθαι προσφάτῳ, ἢ καὶ ἶριν τρίψαντα πρόσφατον ἐπιτιθέναι. Σύνθεσις καυστικο ῦ .

961 Προπόλεως Ἀττικῆς γο ε', χαλβάνης 〈 γο 〉 γ', κηροῦ γο γ', βδέλλης γο δ', ῥητίνης φρυκτῆς γο ε', ἰξοῦ δρυΐνου γο δ', ἀμμωνιακοῦ γο δ', πίσσης Βρυττίας γαστρικῆς γο ε', μυελοῦ ἐλαφείου γο δ', ὀποπάνακος γο γ'. Ἄλλο καυστικὸν Φλώρο υ . [5]

962 Ἀσφάλτου Ἰουδαϊκῆς γο ε', προπόλεως Ἀττικῆς γο ε', βδέλλης Βαβυλωνίας γο ϛ', ἰξοῦ δρυΐνου γο δ', πίσσης Βρυττίας γο ϛ', ἐλαίου κυπρίνου γο β', χαλβάνης γο ϛ', μάννης λιβάνου γο β', μυελοῦ ἐλαφείου γο γ', κηροῦ καθαροῦ ? β', ἀμμωνιακοῦ γο ϛ'. Ἄλλο καυστικὸν εἰς κόξα ς . [5]

964 Χαλβάνης, ὀποπάνακος, μυελοῦ ἐλαφείου, τερεβινθίνης, βδέλλης, μάννης λιβάνου, κηροῦ, στέατος ταυρείου, ἀψινθίου, πίσσης Βρυττίας, ἀσφάλτου Ἰουδαϊκῆς, ῥητίνης γαστρικῆς ἀνὰ γο β', πάντα μίξας καὶ ἑψήσας χρῶ. Καυστικὸν πρὸς πάντ α . [5]

965 Χαλβάνης, στύρακος, πίσσης Βρυττίας, μήκωνος, λιβάνου ἀλεύρου, δαφνίδων, ἀσφάλτου Ἰουδαϊκῆς, τερεβινθίνης, πετροσελίνου Μακεδονικοῦ ἀνὰ γο β'. Πρὸς ὀζαίνας κτηνῶ ν .

968

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τῷ σάρῳ ὃ καταμάσσεται ὁ φοῦρνος καὶ ἀποπλύνεται, εἰς τὸ σκεῦος, ὅπου ἐστὶ τὸ ὕδωρ, συλλέξας 〈εἰσ〉 τὸν ἥλιον ἐπίχριε, πρότερον ἀποπλύνας καὶ ἀποσμήξας τὸν τόπον ὄξει. Ἱπποκράτους περὶ σύριγγο ς .

974 Ὅταν δὲ συριγγιᾷ, ἐξαιρεῖν δεῖ οὕτως· ἐὰν μὲν ὁ τόπος ἐπιδέχεται, τὸ μαχαίριον πάντων ἄριστον. εἰ δὲ μήγε, ἄγξας αὐτοῦ τὸ στόμ α , τρίψας χάλκανθον κεκαυμένην μετ’ ὄξους δριμυτάτου κολλούρια ποιῶν, ξηράνας μετὰ τοῦ κολλουρίου ἰξοῦ τὸ ἴσον ἔμβαλε καὶ τρίψας χρῶ. Ἄλλ ο .

975 Ἀκάνθου βαλὼν τὴν ῥίζαν περιξύσας ἅπλωσε, ἢ σικύου ἀγρίου τρίψας λείαν ἢ τιθυμάλου ὀπῷ φυράσας ἔνθες. Ἄλλο πρὸς θηριώματ α .

976 Τὸ θηρίωμα θεραπεύειν, ἐὰν μηδέπω τὸ μέρος ὀποῦ κείμενον ἦν. πρῶτον μὲν τῳ μαχαιρίῳ περιελεῖν δεῖ 〈ἕ〉 ως τοῦ δυνατοῦ * * Ἱεροκλέους περὶ σύριγγο ς .

977 Ἐὰν μὲν ἐν ταῖς συνωμίαις ᾖ καὶ προσκαθέζηταί τι τῶν συνωμιῶν πρὸς τὸ χονδρόν, * * ἐὰν δέ που ἀλλαχοῦ προσκάθηται καθ’ ὅντιν’ ἂν τόπον, διελὼν πρόσκαυσον καὶ θεράπευε τῷ φαρμάκῳ, ἕως ἡ ἐσχάρα ἐκπέσῃ, τῷ διὰ τῆς ἀσβέστου συγκειμένῳ. τῆς δὲ κακίας ἐκπεσούσης ἀναπληροῦται κατὰ βραχὺ πάλιν εἰς τὸ αὐτό· ἐὰν δὲ ἐπὶ τέ[ι]νοντος ᾖ ἡ σύριγξ, ὀρθοῖς καυτηρίοις χρῆσαι μετὰ βίας ἐπὶ τὸν τένοντα ** ἕως ἂν ἐκπέσωσιν αἱ ἐσχάραι. θεράπευε δὲ φαρμάκῳ σηπτικῷ, ἕως οὗ ἐκπεσεῖν τὴν σηπεδόνα, καὶ οὕτως ἀναπλήρου τὸ ἕλκος. Πελαγωνίο υ , ἐὰν ἵππος σύριγγα ἐν τῇ περιστεφανίδι ποιήσ ῃ .

978 Χαλκοῦ ἄνθους ὄξει δριμυτάτῳ πρόσμισγε, καὶ ὅταν ξηρανθῇ, κατὰ τῆς σύριγγος ἔμβαλε. Ἀψύρτου πρὸς βασκοσύνη ν .

979 Βαῖν ε , νεμεσῶ ς’ , ἔξελθ ε , ἀπόστηθι ἀπὸ τοῦ περιαπτομένου ἵππο υ , οὗ ἔτεκεν ἡ ἰδία μήτρ α , βασκοσύν η , ὅσον γῆ ἀπέχει οὐρανο ῦ . Πρὸς λύκον τὸ πάθος ζῴω ν .

980 Ἵνα πρῶτος ὁρῶν τις αὐτόθι εἴπῃ· οὐκ ἔλαθε ς , λύκος ε ἶ . καὶ 〈ταῦτα〉 · δάκῃ τὸν τόπον τοῦτον τρίτο ν , καὶ καθάπαξ δακέτ ω . Ἱπποκράτους περὶ ὀστέων ἐψιλωμένων καλουμένη ἑφθ ή .

989 Ἰοῦ ξύσματος γο δʹ, μέλιτος κοτύλης c ʹ, ὄξους κύαθον αʹ βαλὼν εἰς χαλκίον ἕψει, ἕως γένηται γλοιῶδες. καλεῖτα δὲ ἡ ἑφθή. Περὶ ἡμιόνου χωλαίνοντος ἐκ νεφρῶ ν .

991 Ἡμίονος ὅταν χωλαίνῃ τὰ ὀπίσθια σκέλη ἀμφότερα, τοὺς νεφροὺς ἀλγεῖ. ταύτην οὖν χρὴ καίειν, τὸ δὲ καῦμα ἔστω ** εἶτα ἅλατι καὶ ἀστερίῳ τετριμμένῳ καὶ νίτρῳ Αἰγυπτίῳ ὅσον στατῆρα, ταῦτα διέμενος ὅσον ἡμίχοον αʹ θεράπευε, Ἀττικῷ μέλιτι μικρὸν μίξας καὶ ἔλαιον. Πρὸς νεύρων στροφὰς καὶ δοθιῆνας καὶ πρὸς πολλ ά .

994 Φάρμακον ποιοῦν πρὸς νεύρων συστροφὰς καὶ δοθιῆνας καὶ μασθοὺς περιωδύνου ς , πρὸς πᾶσαν σκληρίαν · ἐλαίου παλαιοῦ ∞ αʹ, ἅλατος λευκοῦ ⍰ αʹ, ψιμυθίου ⍰ αʹ, ἀμμωνιακοῦ γο γʹ, ῥητίνης ξηρᾶς γο ηʹ, κηροῦ γο γʹ, ὀποπάνακος γο ςʹ. Πελαγωνίου περὶ ψυῶν καὶ νεφρῶν καὶ ἰσχίω ν .

995 Ἁρμόζει περὶ ψυῶν ἡμᾶς καὶ νεφρῶν παρὰ τῇ σῇ κοσμιότητι ὀλίγα καταλέξαι. εὐχερῶς γὰρ παρὰ τοῦ συνεχέστερον πεπονθότος καὶ διαγινώσκεται καὶ θεραπεύεται τὸ τοιοῦτον ζῷον. ἡ γὰρ ὁμοπάθεια τὰς ἰάσεις πολλάκις ἐφευρίσκουσα μεταδίδωσιν. ἡμεῖς δέ σε πλειστάκις γυμνὸν ἐθεασάμεθα τοὺς νεφροὺς παρειμένο ν , διόπερ διπλῆν σε τὴν χάριν τῆς τοιαύτης ἐπιμελείας τε καὶ θεραπείας δέχεσθαι φανερόν ἐστιν, ὥστε καὶ τὰς σὰς ἐξειλεγμένῳ βοηθήματι στερ 〈ρ〉 οῦσθαι ψύας, καὶ ἡνίκα ἵππος ὑπὸ τούτων ἀναλίσκεται, τῆς αὐτῆς φροντίδος τε καὶ θεραπείας ἀξιοῦσθαι. ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἵπποι τὰς ψύας πολλῷ τῷ βάρει καταβλάπτουσιν, ἢ ὅτε λάκκον ὑπερπήδησωσι καὶ συμβῇ τοὺς ὀπισθίους πόδας ὑποκαθεσθῆναι. γίνεται δὲ αὐτοῖς τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτον πάθος καὶ ὑπὸ πολλοῦ κρύους. τότε τοίνυν αὐτοὺς χρὴ τούτοις βοηθήμασιν [αὐτοὺς] θεραπεύειν· θερμῷ τὰς ψύας ἀπαντλείσθω, καὶ μετὰ ταῦτα καυστικῷ κέχρησο. Εἰ ἐπὶ πλεῖον ἀλγήσε ι .

996 Λύε τὰς τῶν ὀνύχων φλέβας καὶ τῷ ἀπορρέοντι αἵματι ἅλας καὶ ἀξούγγιον καὶ ἔλαιον μῖξον καὶ κατὰ τῶν νεφρῶν ἐπίθες. εἰ δὲ ἀνάγκη καταλάβῃ, 〈χρῆσαι καὶ μαλάγματι **** 〉 χρῆσαι ἐπὶ ἡμέρας θʹ καὶ τὴν προκόπτουσαν θεραπείαν καταμάνθανε. καὶ ἐὰν ἀνάγκη καλέσοι, ἐκ τῶν βουβώνων φλεβοτόμει, καὶ τότε τῷ βοηθήματι τὴν κόξαν θεράπευε. ἔστι δὲ τὸ βοήθημα εὐφορβίου γο δʹ, πίσσης ὑγρᾶς γράμματα δʹ, ἅλατος κοινοῦ γο δʹ, ἅμα συμμίξας ἕψει. Ἄλλ ο .

999 Σισύμβριον μετὰ ἀλφίτων ∞ αʹ ὕδατι ἀναλαβὼν ἀπόθου. Σύγχρισμα ἅρματο ς , ὅπερ κουδριγάριον καλεῖτα ι .

1003 Ὀποῦ πάνακος, καστορίου, χαλβάνης ἀνὰ γο βʹ, τερεβινθίνης, ῥητίνης φρυκτῆς, ῥητίνης πιτυΐνης, βουτύρου, ῥητίνης Βρυττίας, ἀξουγγίας, ἐλαίου κυπρίνου, ἐλαίου δαφνίνου, κηροῦ λευκοῦ ἀνὰ ⍰ αʹ. Πρὸς σύνδεσιν κτηνῶν ἴσον ἴσ ῳ .

1006 Ἴσον ἴσῳ σίνηπι καὶ ἰσχάδων λειώσας καὶ προσμίξας ὄξους τὸ ἀρκοῦν, ἵνα ἑνωθῇ, λευκάνας κατάπλασον τὰς ὁπλάς. τὸ αὐτὸ δὲ καὶ εἰς σκληροπάτημα πεποίηται καὶ θεραπεύει. Ἐπισπαστικὴ καὶ πωρωτικὴ καὶ διαχυτικ ή .

1008 Κηροῦ, σινήπεως, δαφνίδων, νίτρου ἀνὰ ⍰ δʹ, κυπρίνου Λ ηʹ, τερεβινθίνης Λ ηʹ, ἐλαίου Λ ηʹ, τὸ νίτρον καὶ τὰς δαφνίδας καὶ τὸ σίνηπι κόψον καὶ σῆσον, τὸν δὲ κηρὸν καὶ τὴν ῥητίνην καὶ τὸ ἔλαιον τήξας ἐπίπασσε τὰ ξηρά, ἐσχάτην δὲ τὴν ἄσβεστον Λ δʹ, καὶ χλιαίνων χρῶ. Ἄλλο πρὸς 〈πόδασ〉 .

1011 Ῥητίνης φρυκτῆς, ἀσφάλτου, θείου ἀπύρου, πευκεδανοῦ ἴσα κόπτων, εἶτα ὀξυγγίᾳ τετμημένῃ ἀναμιγνύναι ἐπιβληθέντος ὄξους. χρῖε δὲ θερμῷ. Ἄψυρτος Κλαζομέν〈ι〉ος ἱπποϊατρὸς τῷ ἑαυτοῦ ἰατρῷ Κιοστίνῳ Μοσχίων ι . *** Πρὸς πόδας ἵππω ν .

1014 Πρὸς πόδας ἵππων ἀμόργῃ ἅμα ἕψει ἀγριελαίας φύλλα καὶ κυπαρίσσου φύλλα καὶ μίσγε. ὅταν δὲ ἑψηθῇ, ἀναμίσγων τὴν χαλωτίαν ἀνειμένην καὶ στυπτηρίαν τῇ θεραπείᾳ χρήσῃ. εἴωθεν δὲ τοὺς πρωτώνυχας ἀποβάλλειν. Σύνθεσις ποδικ ή .

1017 Βάτου ῥίζαν ἢ πάλιν νίτρον τρύχινον, ἢ τιθύμαλον ἢ σιδηρῖτιν ἢ Διὸς κύαμον ἢ μέλανος ἐλλεβόρου ῥίζαν ἢ κρόμυον ** καὶ διέντες δι’ ὀθονίου ταῦτα στάζουσιν εἰς τοὺς ῥώθωνας. τὸ ποσὸν τὸ ἐγχεόμενον τῇ ποσότητι γίνεται κατὰ πᾶσαν τῶν ἐξηριθμημένων βοτανῶν. αἱ μὲν γὰρ χλωραὶ ἐπιδέχονται, τὰς δὲ ῥίζας καὶ τὸ σπέρμα ἐγχυμάτιζε. Ποδικὴ εὔχρηστο ς .

1018 Σαύραν χλωρὰν ἕψει εἰς ἔλαιον, καὶ κηρῷ ἐνθήσεις· χρῶ μετὰ στέατος ταυρείου καὶ πίσσης ἐπιχρίσας καὶ εἰς δᾳδίον ἐνδήσας, 〈ἢ〉 ὄστρακον πυρώσας ἐπίχριε. Πρὸς ἀναφορὰν καὶ μυκτήρων κάθαρσι ν .

1021 Ῥέφανον παναρίαν συντρίψεις. ἐὰν ἀπὸ ψυγμοῦ τοὺς ῥώθωνας αὐτοῦ θέλῃς καθαρίσαι, λάβε γάρου κυάθους γʹ καὶ ἐλαίου κύαθον αʹ καὶ εἰς τοὺς ῥώθωνας κατὰ βʹ κυάθους ἔνθες, καὶ πατείτω. εἶτα εἰς παραπόδισμα αὐτὸν βάλε καὶ σύνδησον καὶ ἔασον αὐτοῦ κατέρχεσθαι τὸ προέκρευμα ἀπὸ τῶν ῥωθώνων. Εὐμήλου πρὸς ὀστέου κατάποσι ν .

1025 Καρδάμου σπέρμα μετὰ οἴνου καὶ ἐλαίου καλοῦ λειωθὲν καὶ χλιανθὲν διὰ μυκτήρων ἔγχεε. Ἀψύρτου δῶρον ἀγαθό ν , σωτήριο ν , θαυμαστὸν καὶ πρὸς κτήνη ἐνεργό ν .

1026 Ἰα ω , Ια η , ἐ π ’ ὀνόματος πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πνεύματος ἁγίο υ , ἰριτερλιεσταθε ρ , νοχθαι βρασα ξ , σαλωλὰμ νακαρζεω μαζα αρεους δαρουχαραὴλ ἀβλαναθὰλ βαθιακεθ δρυ θ ’ τουμαλα θ ’ πουμαδοιν χθου χθο υ , λιτιοταν μαζαβατης μανερ ὀψαχιου ἀβλαναθαληβα Ἰαω Ιαη ἐ π ’ ὀνόματος πατρὸς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁγίου πνεύματος ⟨λέγε⟩ καὶ γράψον αὐτὰ ἐν χαλκῷ γραφείῳ ἐν λάμνῃ καθαρᾷ κασσιτερίνῃ ἀπὸ βούλλας, καὶ ἐνδήσας ἐν δέρματι στυπτῷ, ὅποι ἂν θέλῃς, περιάψεις. τὴν δὲ λάμναν γράψας θυμία στύρακι. καὶ ἐγχυματισμὸν ποιήσῃς τοιοῦτον· ὄφιν ζῶντα καύσεις εἰς χύτραν καινὴν καὶ ἠσφαλισμένην τὸ στόμα ὑπὲρ τοῦ μὴ διαπνεῖσθαι τὴν ἐνέργειαν, καὶ ποιήσεις ἐξ αὐτοῦ κονίαν, καύσεις καὶ τὸ ⟨ν⟩ κριπτικὸν στύρακα, καὶ ποιήσας κονίαν μίξεις κυνείῳ αἵματι καὶ πρίσματι ἐλεφαντίνῳ καὶ πέπερι καὶ φύλλῳ σὺν μέλιτι καὶ οἴνῳ παλαιῷ εὐώδει· οὕτως ἐγχυμάτιζε καὶ μεγίστην ὠφέλειαν εὕρῃς. Εὐμήλου πρὸς φυλακὴν τῆς τῶν ζῴων σωτηρία ς . [15]

1027 [Ἀποκρέμνα, ὥστε παντὶ τρόπῳ τὸ τῆς καταπόθρας καταγυμνάζεσθαι μέρος] Σωτηριωδῶς δὲ σύμπαντα φυλάττει τὰ ζῷα προπότισμα τέταρτον τοῦ ἔτους διδόμενον· ἔαρι, θέρει, μετοπώρῳ, χειμῶνι, μάλιστα δὲ ἵππους. ἡ δὲ κατασκευὴ αὕτη· ἡλιοτροπίου φύλλα λελειωμένα μετὰ οἴνου ἡμίνας α′ καὶ ᾠοῦ α′ καὶ ἐλαίου ὅσον ᾠῶν β′ χωροῦσι κέλυφα. χλιάνας οὖν ταῦτα διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἔμβαλε. ἔστι δὲ πάνυ χρησιμώτατον. ⟨ἢ⟩ κόπρου χοιρείας γο γ′ μετὰ οἴνου παλαιοῦ ∞ α′ δίδου. Ἀπὸ τῶν παρὰ Ἀσπιδίου λιπαρὰ πρὸς τραχήλια κτηνῶ ν . [5]

1030 Ἀπὸ τῆς διὰ χυλῶν γο ϛ′, κηροῦ γο ϛ′, σάπωνος γο ι′, ἐλαίου ? β′, μετὰ [του] τὸ συζέσαι τὰ τηκτὰ ὁμοῦ λιθάργυρον ἐπίπασσε βαλὼν εἰς κόγχην καὶ τρῖβε, ἕως ἂν παχυνθῇ, καὶ τρίβων κατάρραινε, εἶτα πάλιν εἰς ὅλμον βάλε καὶ τρῖβε. δαπανήσει δὲ οἴνου ∞ τὸ δ′ Ἰταλικοῦ. εἶτα πάλιν ὄξει προσκατάρρανον ὡς ἥμισυ κράσεως. εἶτα τρῖβε μολύβδαιναν, ἐπίπασσε καὶ τρῖβε, εἰς ὅσον συνέλθῃ. χρῶ. τοῦτο ποιεῖ καὶ χοίροις καὶ κτήνεσι πᾶσι ν . ⟨Περὶ⟩ ἐκβολῆς ἵππου θηλεία ς . [5]

1034 Ἵππος θήλεια ἐὰν ἐκβάλῃ, ὄξους ἡμῖναν α′, πτισάνης Ἀλεξανδρηνῆς γο δ′. τὴν πτισάνην φρύξεις καὶ κοσκινεύσεις ἰσχνὸν λίαν καὶ οὕτως δώσεις. Ἀψύρτου πρὸς ληθαργικό ν .

1040 Αὐτὸ τὸ νόσημα ὅταν ἄρξηται, τὸ κτῆνος καταπίπτει. ὅτε ἂν λίαν μὴ στέγῃ, μάλιστα δέ, ὅταν ἄρξηται ὡσεὶ ῥέγχειν, ταῦτα τὰ σημεῖα τούτων ἐστίν· κοιμᾶται λίαν, τὸ χεῖλος ἔχει κάτω κεχαλασμένον καὶ χασμᾶται. διὸ ἡ θεραπεία ταῖς χερσὶ τρίβεσθαι καὶ φυσᾶσθαι οἴνῳ καὶ ἐλαίῳ, καὶ παύσεται τῇ ζ′ ἡμέρᾳ. Περὶ ἐπίπλοο ς . [5]

1041 [Περὶ] ἐπίπλοος σημεῖον τοῦτο ἔσται· ὅλος φλεγμαίνει καὶ τοὺς ὀφθαλμοὺς πυκνότερον ὑποχεῖρα καλύπτει. οὕτως αὐτὸν θεραπεύσεις· αἷμα ἀφέλῃς ἀπ’ αὐτοῦ τοῦ τραχήλου καὶ ἀπὸ τῶν ὤμων, καὶ αὐτῷ τῷ αἵματι ἅλας καὶ νίτρον καὶ ὄξος ὅλον περιχρίσεις ἐν τῷ ἡλίῳ ἡμέρας β′, καὶ μετὰ ταῦτα τῇ γ′ ἡμέρᾳ ὕδατι ψυχρῷ λούεις αὐτόν. καὶ ταύτῃ τῇ θεραπείᾳ περιχρίσεις αὐτόν, ἕως ὅτου ἄπονος γένηται. Περὶ ἀσθμαίνοντο ς . [5]

1042 Ἐὰν ἐπὶ πολὺ ἀσθμαίνῃ, τοῦτο ἔσται αὐτῷ τὸ σημεῖον· ἀπὸ τῶν μυκτήρων ῥεύσει αὐτοῦ καὶ μᾶλλον οἱ ὀφθαλμοὶ αὐτοῦ ἀσθενέστεροι ἔσονται. οὕτως δὲ αὐτὸν θεραπεύσεις· ἀφαιρέσεις αὐτοῦ ἀπὸ τοῦ τραχήλου αὐτοῦ ὡς κοτύλην, καὶ ὕδατι θερμῷ ἀντλήσεις, χρήσῃ καταπλάσμασι ὠμηλύσει εἰς λέντιον ἐμπλάσσων, καὶ οὕτως ἐπιθήσεις, καὶ πόσιν αὐτῷ δώσεις πτισάνην μετὰ καλαμίνθης καὶ γλήχωνος γο ϛ′· συνεψήσεις καὶ δώσεις ἐν κέρατι τὸ ἀρκοῦν. Ἱεροκλέους περὶ ἄσθματο ς . [5]

1043 Ἐὰν ὑπὸ ἄσθματος ἐνοχληθῇ, ἀσθμαίνει ⟨δηλαδὴ⟩ καὶ αἱ λαγόνες ἀνεσπασμέναι εἰσὶν ⟨καὶ οἰδοῦσι⟩ καὶ βλαβερὸν καὶ πονηρὸν τὸ πάθος. σύκων οὖν καθεψήσας μνᾶν ἐν ὕδατι καὶ ποιήσας τοῦ ὑγροῦ κοτύλας γ′, ἐγχεῖν μετὰ ᾠῶν β′ διὰ στόματος. ποίει δὲ τοῦτο πολλάκις ἄχρις ἂν ὑγιάνῃ. Ἀψύρτου καρυδῶσαι κτῆνο ς . [5]

1044 Ἐὰν καρυδῶσαι θέλῃς κτῆνος, μηνὶ Μαΐῳ ἀνέμῳ τῷ βορέᾳ φυσῶντι ποιήσῃς φόσσαν καὶ τοὺς ὄρχεις αὐτοῦ δήσεις * * ἵνα μὴ ἐξεγερθῇ. εἶτα λάβε σιδήριον ὀξὺ[ν] καὶ ταχὺ ἔκκοψον αὐτοῦ τὸ δέρμα. τότε, ἂν αὐτοῦ οἱ ὄρχεις ἐξέλθωσιν ** βλέπε δὲ μὴ τὰς ῥίζας αὐτοῦ ᾄρῃς. εἶτα πέμψεις ἅλας καὶ κοπανιεῖς καὶ ἐγγεμίσεις αὐτοῦ τὴν πληγὴν καὶ ἀνέγειρον αὐτὸν καὶ [ἐὰν] ἀφήσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτόν, μὴ διοιδήσῃ. τῇ αὔριον ἡμέρᾳ πάλιν αὐτῷ ἐνδώσεις. ἐὰν ὄψῃ, ὅτι αὐτοῦ οὐ τρέχει, λῦσον αὐτόν, καὶ πίσσαν καὶ ἔλαιον λαβὼν συνάλειψον ἐπάνω τῶν νεφρῶν αὐτοῦ καλῶς, μεθ’ ὅσον 〈 ὅσον〉 καὶ τὴν κεφαλὴν αὐτοῦ καὶ τοὺς μυκτῆρας, καὶ μὴ ἀφήσεις αὐτὸν πολὺ[ν] περιπατεῖν, μέχρις οὗ ὑγιὴς γένηται. καὶ ἐν θερμῷ στηκέτω καὶ ὅλον τὸ σῶμα μάνναν λιβάνου μετὰ οἴνου περίχριε, μὴ τῷ πόνῳ ἐκλίπῃ, καὶ σάγον αὐτῷ περίβαλε. αἷμα ἐὰν πέμπῃ, ἀμμωνιακοῦ γο α′, πράσσου τοῦ χυλοῦ κυάθους β′· τοῦτο λίαν προχωρεῖ, ἐὰν τοῦτο μέλιτι [καὶ] μίξα 〈ι〉 ς καὶ [ἀ]λάσαρι. Ἐὰν ἕλμινθας ἀηδεῖς ποιήσ η , οὕτως θεραπεύσεις· ἀψινθίου γο α′ συντρίψας μετὰ ἅλατος καὶ ἀλεύρου κριθίνου εἰς ἓν χυλὸν ποίησον καὶ δός, καὶ καθ’ ὑποχεῖρα τὸ στόμα αὐτοῦ ὕδατι πλῦνε καὶ τροφὰς καλὰς 〈δίδου〉 , δίδου δὲ καὶ πιεῖν.

1046 Περὶ λούμβω ν . Ἐὰν οἱ λοῦμβοι ψυγῶσιν, δεῖ ἐξ ὑψηλοῦ ὕδωρ πολὺ ψυχρὸν καταχύνειν αὐτῶν. ποιήσεις δὲ καὶ 〈τοῦτο〉 · ἐρείκης σπέρμα γο α′, πηγάνου γο α′, πάνακος γο α′· μετὰ οἴνου χλιαροῦ κίρνα καὶ δίδου πιεῖν αὐτῷ. Ἐὰν ὅλος πάσχ ῃ , εὐθὺς βαρὺς ἔσται καὶ τὸ αἰδοῖον αὐτοῦ καταβήσεται καὶ οἱ ὀφθαλμοὶ ἀτενεῖς καὶ τὰ ὀπίσθια δεδεμένα.

1047 δεῖ τοίνυν θερμῷ πολλῷ * * ἀφαιρεῖν καὶ ἐλαίῳ καὶ ὄξει αὐτὸν συναλείφειν, καὶ πατεῖν ὀλίγον, καὶ τρίψεσι πυκναῖς χρῆσθαι, ἀντλεῖσθαι δὲ ὕδατι θερμῷ τοὺς βραχίονας. ἐὰν καλῶς ἄρξητα ἔχειν, δώσεις ὅσον θέλει τροφῆς καὶ πιεῖν αὐτῷ τρισέλινον * * Ἡ διὰ χυλῶ ν .

1058 Στέατος χοιρείου παλαιοῦ, τερεβινθίνης, κηροῦ ἀνὰ ⍰ β′, ῥητίνης γο δ′, ῥητίνης πιτυΐνης, ἐλαίου παλαιοῦ, ὑοσκυάμου χυλοῦ ἀνὰ ⍰ β′ καὶ ἐβίσκου τοῦ χυλοῦ ἕψει πολλὴν ὥραν μέχρι ἀμόλυντα γένηται. ἐπίβαλε δὲ βερνικαρίου γο δ′, χαλβάνης γο δ′. ἀφελὼν ἀπὸ τοῦ πυρὸς σπάθιζε πολλὴν ὥραν. Ἡ διὰ χυλῶ ν .

1059 Ἐλαίου ⍰ ζ′, λιθαργύρου ⍰ ς′, χυλῶν ⍰ δ′ ἕψει ἕως μεταβάλῃ * * Ἡ βαρβάρα ἡ μεγάλ η .

1060 Ἀσφάλτου Ἰουδαϊκῆς, πίσσης Βρυττίας, κηροῦ, φρυκτῆς, ἐλαίου κοινοῦ ἀνὰ ⍰ β′, λιθαργύρου, ψιμυθίου, στυπτηρίας σχιστῆς 〈καὶ〉 στρογγύλης ἀνὰ γο γ′, μίσυος, κηκίδων, χαλκίτεως ἀνὰ γο β′, ὀπίου, ὀποπάνακος, ἀλόης ἡπατικῆς, σμύρνης, λιβάνου ἀνὰ γο α′, μανδραγόρου χυλοῦ γο γ′, ὄξους δριμυτάτου τὸ ἀρκοῦν, τὰ τηκτὰ κατάβαλε εἰς τὴν θυίαν καὶ ἀναλάμβανε ἐπιβάλλων τὰ ξηρὰ καὶ ποίει ζύμην. ἐὰν δὲ βούλῃ ἀναλῦσαι, ποιήσεις οὕτως· τοῦ φαρμάκου ⍰ α′, κηροῦ ⍰ α′, πίσσης Βρυττίας ⍰ α′, ἐλαίου κοινοῦ ⍰ ς′. Ἱεροκλέους πρὸς ἀνάληψιν καλό ν .

1063 Ὀρόβων ⍰ α′ χρὴ παραβάλλειν τῷ ἵππῳ πρὸς ἀνάληψιν. ποιεῖ δὲ καὶ ἡ ῥίζα ἐγχυματιζομένη. χρὴ δὲ διδόναι ἐκ προσαγωγῆς εἰς κρίθινον χυλόν. δώσομεν δὲ τὸ πρῶτον ἀρακάδα τῇ μιᾷ χειρί. Τοῦ αὐτοῦ τί καθαίρε ι .

1064 Σμύρνα καὶ αὐτή ἐστι τῶν καθαρτικῶν καὶ ἀναληπτικῶ ν. Ἀνατολίου περὶ τῆς τῶν πώλων ἀνατροφῆ ς .

1065 Μὴ ὥσπερ ἐπὶ 〈τῆσ〉 τῶν ἄλλων ἀνατροφῆς, ὧν τὰ γεννηθέντα ἀφαιροῦμεν, οὕτως καὶ ἐπὶ τῶν ἵππων· φιλοστοργό〈τατο〉ν γὰρ τοῦτο τὸ ζῷον ἁπάντων. μετὰ γὰρ ιε′ ἡμέρας νέμεσθαι αὐτὰ[ς] ἐῶμεν μετὰ τῶν μητέρων. ἐξαμηνιαίοις δὲ γενομένοις τοῖς πώλοις κριθὰς παραβαλοῦμεν βεβρεγμένας. οὐ χωριστέον δὲ οὐδὲ γάλακτος. τοῦτο δὲ ἀκριβῶς ἔστω παραφυλακτέον, ὅπως μὴ ἐκτρέφουσαι τοὺς πώλους ὀχευθῶσιν. ἐκ γὰρ τῆς ὀχείας τὸ γάλα ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων διαφθείρεται. τινὲς δὲ βουλούμενοι τὰς ὁπλὰς σκληροτέρας ποιῆσαι, ὄστρακον πυρώσαντες καὶ ἐπιρράναντες ὄξος ὑποτιθέασι ταῖς ὁπλαῖς, καὶ ἀπὸ τῆς ὁδοιπορίας ἐλθόντας πλύναντες ὕδατι ψυχρῷ ἐπιστάζουσι στέαρ χοίρειον ἢ τράγειον μετὰ θείου ταῖς ὁπλαῖς, μάλιστα ταῖς ὑποτριψάσαις. καθ’ ἡμέραν δ’ ὥσπερ καὶ οἱ ἄνθρωποι χαίρουσι λουτρῷ, οὕτως καὶ ὁ ἵππος ποταμίοις ὕδασι, καὶ ἐπὶ πλεῖον θαλήσσης. τὸ γὰρ θαλάττιον πλέον ὠφελεῖ τὰ σώματα αὐτῶν. εὔτριχας δὲ τὰς χαίτας ποιήσεις καὶ τὰς οὐρὰς οἴνῳ μετὰ ἐλαίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βρέχων. καθαροῦμεν δε τοὺς ἵππους ἐρεβίνθῳ καὶ ὀρόβῳ διὰ τοῦ ἔαρος καὶ μετοπώρου, διὰ δὲ τοῦ χειμῶνος κριθῇ ὀρόβοις μεμιγμένῃ θρέψωμεν. Περὶ ἰάσεως διαφόρων νοσημάτω ν .

1066 Ἐὰν ἀπισχνοῦται ἵππος, σίτου φρυγέντος καὶ κριθῶν ὠπτημένων διπλάσιον παραβλητέον αὐτῷ, τρὶς δὲ τῆς ἡμέρας ποτιστέον. εἰ δὲ ἐπιμένοι ἰσχνούμενος, πιτύρων τῷ σίτῳ μικτέον καὶ ἠρεμαίοις γυμνασίοις χρηστεόν. ἐὰν δὲ 〈μὴ ἀδη〉 φαγ ῇ, στρύχνον καὶ πολίου φύλλα ὕδατι ποτίμῳ διηθηθέντα ἐγχέουσιν εἰς τὰς τροφὰς καὶ τοὺς ὀρόβους διαβρέξαντες ὕδατι παρατιθέασιν, ἢ μελανθίου κυάθους β′ τρίψαντες καὶ μίξαντες ἐλαίῳ κοτύλαις γ′ μετὰ οἴνου ἐγχέουσιν. ναυτιῶντας δὲ θεραπεύσεις σκόρδων κοτύλῃ α′ οἴνου μίξας καὶ διδούς. ἐὰν δὲ καὶ δυσουρίᾳ ἐνσχεθῇ, ᾠῶν ι′ τὸ λευκὸν τοῖς προειρημένοις μιχθὲν διὰ στόματος ἐγχεόμενον ὠφελήσει. Ἱπποκράτους περὶ νοσημάτω ν .

1068 Καὶ τέχνης ἔνδειξ[ε]ις καὶ ἄσκησ[ε]ις ἵππων καὶ ἡμιόνων χωρίς, ὅσον 〈γὰρ〉 ὑγρὸν τοῦ ξηροῦ διαφέρει. τῶν 〈οὖν〉 νοσημάτων χωρὶς γράψομεν ἁπάντων, ὥστε εἰδέναι καὶ τὸν ἰδώτην, τὰ σημεῖα. δείξω δὲ καὶ ἀπὸ τῆς ἰατρικῆς περὶ ἵππων καὶ ὑποζυγίων ἁπάντων. Ἀρχὴ τῶν νοσημάτων ἡ ποδάγρ α. πρῶτον τοῖς ἵπποις καὶ τοῖς ἄλλοις ὑποζυγίοις ἀπὸ ψύξεως καὶ δυσουρίας 〈γίνεται, ἢ〉 ὅταν ᾖ ἀπὸ μόχθων ἢ ἐλασιῶν πολλῶν, ἢ ἐργαζόμενος θερμὸς γένηται καὶ ψυγῇ ἐξαπίνης ἀφ' ὁδοῦ, ἢ ἀπὸ ψύχους ἢ ἀπὸ φλέγματος. τούτων οὖν ἁπάντων τοὺς καιροὺς χρὴ διαγινώσκοντας 〈σκοπεῖν〉 , εἰ ὑγιές ἐστι τὸ ὑποζύγιον. ἔστι δὲ τοιάδε ἡ νόσος ὥσπερ χολὴ τοῖς ἀνθρώποις, καὶ σημεῖα τάδε· ἐν μὲν τῇ κεφαλῇ ἀχλὺς ἐπιγίνεται καὶ ἐν τοῖς ὄμμασιν, τὰ δὲ βλέφαρα πήγνυται, καὶ κινεῖ τὴν κεφαλὴν καὶ δάκρυα ἐκβάλλει πολλά. ἐνίοτε καὶ ἡ γλῶσσα ψυχρὰ καὶ χλωρά, καὶ ἐφ' ὁπότερα ἐὰν ὁρμήσῃ * * καὶ τὰ ὦτα παραβέβ 〈λ〉 ηκεν καὶ τὴν κεφαλὴν κάτω πρωθεῖ, καὶ τὰ φλέβια τὰ ἐν τῇ κεφαλῇ αἵματος μεστὰ ἐπαναστήκουσιν καὶ πνεῖ θερμὸν καὶ συχνόν. ταῦτα μὲν τὰ σημεῖα ἀπὸ τῆς κεφαλῆς. ἔστι δὲ ἐν τῷ σώματι τάδε· ἡ ὀσφὺς καὶ αἱ νωτιαῖ 〈αι〉 φλέβες καὶ τὰ νεῦρα συντεινόμενα δεινὰ καὶ θαλγάζοντα, καὶ ἱδρὼς ῥέων εἰς τὴν ὀσφύν, ἀλλὰ πάνυ βραχύς, [κριοῖ τὴν κεφαλήν] βαροῖ καὶ τὴν κέρκον καὶ ὑποσπᾷ. ἐνίοτε δὲ καὶ ἡ ἕδρα συνείλκυσται, ἐνίοτε δὲ καὶ αἱ φλέβες αἱ πρὸς τὴν ἕδραν πάλλονται, καὶ τὸ αἰδοῖον 〈οὐ〉 κολιάζει καὶ οὐ πρόσω θέλει οὐρῆσαι καὶ οἱ ὄχρεις ἀλλοῖ 〈οἱ〉 εἰσιν καὶ πυκνῶς δὲ ἀνίασιν, καὶ οἱ κενεῶνες ἑλκοῦνται καὶ κατακλίνεσθαι οὐ δύνανται. ἐν δὲ τοῖς σκέλεσιν ἑλκοῦνται καὶ τρόμος ἐμμένει εἰς ἕκαστον καὶ χώλευμα, καὶ ἐφέλκει καὶ στήκειν οὐ δύναται, ἀλλ' ἀκροβηματίζει, καὶ ὅταν τροχάζει, ἀφέλκει καὶ οἷον νάρκην ἔχει, καὶ αἱ φλέβες αἱ ἐν τοῖς σκέλεσιν ὀχυρῶς ξηραὶ καὶ τὰ φλέβια αἵματος πλήρης ἐστίν. τὸ δέρμα τέμνειν χρὴ ἀπὸ τοῦ βουβῶνος * * ἐὰν δὲ μὴ παύσηται, τοὺς ὄρχεις ἐκτέμνειν καὶ ἔσται ὑγιής. Πελαγωνίου προπότισμα ποιοῦν πρὸς πάντ α , ὥστε τὰ ζῷα τάχιον ἀναλαμβάνειν καὶ ὥστε τὰ ἐντὸς σύμπαντα ἀποσμήχειν καὶ θεραπεύει ν , ποιεῖ 〈δὲ〉 καὶ πρὸς πᾶν πάθος καὶ βῆχα παλαιά ν , ποιεῖ δὲ καὶ πρὸς φθίσιν καὶ βουλσοὺς καὶ περιπνευμονικοὺς καὶ ὅσα τῶν ἐντὸς πεπονθότω ν .

1069 ἡ δὲ κατασκευὴ αὕτη· πτισάνης ∞ α′, λινοσπέρμου ἡμῖναν α′, ὠμὸν ἀρχέντερον 〈χοίρειον〉 ἢ βραχεῖαν α′, εἰ δὲ μὴ εὑρεθῇ βραχεῖα ἢ ἀρχέντερον χοίρειον, ἐρίφου κεφαλὴν μετὰ τῶν ἀκροναρίων καὶ τῆς χορδῆς. ἔμβαλε ὑσώπου δεσμὰς β′, βολβοὺς ιε′, πηγάνου δεσμὴν α′, δαφνοκόκκων χλωρῶν ∞ α′, φοίνικας λ′, σκόρδων κεφαλὰς γ′, στέατος αἰγείου γο ς′, γλήχωνος δεσμὴν α′. ταῦτα πάντα καθάρας καὶ συνθρύψας ἕψει ἐν ὕδατι ἀπὸ κιστέρνας, ἄχρις οὗ τὰ προειρημένα κρέα κατατακῇ καὶ μόνα τὰ ὀστᾶ ἀπομείνῃ. συνεχέστερον δὲ ὕδωρ ἐπίβαλε, ὥστε μὴ ἐκκαυθῆναι ἢ λιπαρὸν ποιῆσαι τὸν χυλόν. καὶ μετὰ ταῦτα διηθήσας καὶ προσθεὶς τραγακάνθης γο γ′, τοῦτο εἰς γ′ ἡμέρας διανέμεις. οὕτω δὲ χρῆσθαι δεῖ· τὴν τραγάκανθον πρὸ μιᾶς ἡμέρας εἰς ὕδωρ θερμὸν ἔμβαλε, ὥστε καταζυμῶσαι, καὶ πρόσθες ἑψήματος ∞ γ′, τουτέστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕνα καθ’ ἡμέραν, ᾠὰ ἀριθμῷ ϛ′, ἐλαίου ῥοδίνου. ταῦτα σύμπαντα μίξας ἅμα νηστικὸν τὸ ζῷον προπότιζε. Εὐμήλου πρὸς ὤμου ς . [20]

1071 Ἐὰν αἷμα ὤμους πληρώσῃ, λύειν χρὴ τὰς τῶν σκελῶν φλέβας, καὶ λιβάνου ἄλευρον τῷ αἵματι συμμίξας ἀπότριβε τοὺς ὤμους ἀνὰ τρίχα. τὰς δὲ ῥεούσας φλέβας τὴν κόπρον τοῦ ζῴου ἐπιτιθῶν παύσεις. τῇ δὲ ἄλλῃ ἡμέρᾳ ἀπὸ τῶν αὐτῶν τόπων αἷμα λάμβανε, τροφῇ δὲ χλωρᾷ καὶ ταύτῃ ὀλίγῃ ἀρκείσθω. τῇ γ′ πράσου χυλὸν ὡς κυάθων γ′ καὶ ἡμῖναν ἐλαίου μίξας διὰ κέρατος εἰς τὸν λαιμὸν ἔμβαλε. μετὰ δὲ ταῦτα ὀλίγα διακινείτω, καὶ μετὰ ϛ′ ἡμέρας καὶ νήχεσθαι κατανάγκαζε, καὶ πρὸς ὀλίγον τὴν ἐξ ἔθους τροφὴν λαμβανέτω. Ἱπποκράτους περὶ ἕδρας ἐκβολῆ ς . [10]

1082 Ἐὰν δὲ ἕδρα ἐξέλθῃ ἀπὸ ψυγμοῦ, θεραπεύσεις οὕτως· τὸν μὲν ἐκστροφηθέντα 〈ἀρχὸν〉 ὕδατι θερμῷ καὶ οἴνῳ καὶ ἐλαίῳ ἐμβρέξας στυπτηρίᾳ Αἰγυπτίᾳ, ἢ βάτου καὶ κυπαρίσσου κηκῖδας κόψας ἐπιπάσσε, καὶ εἰς τὴν ἕδραν ἐπιθε 〈ὶ〉 ς σπόγγον πάλιν ἔμβρεχε θερμῷ ὀξυκράτῳ. τρωγέτω δὲ αὐθώρᾳ ἄγνου τὰ ἁπαλά, βραχέντας δὲ ὀρόβους ὀλίγους τρωγέτω καὶ πινέτω χλιαρόν, καὶ σκεπαζέσθω ὅλος περιβολαίῳ καὶ ἱστάσθω ἐν τόπῳ θερμῷ ἐπιτηδείῳ, καὶ ἐγχυματιζέσθω οἴνῳ καὶ ἐλαίῳ καὶ σελίνου σπέρμα καθεψημένον ἐν οἴνῳ αὐτάρκει. ἐὰν δὲ εὐκόλως μὴ δυνηθῇ εἰσαγαγεῖν τὴν ἕδραν, κατάκνιζε φλεβοτόμῳ αὐτάρκως κατ’ αὐτοῦ καὶ θλῖβε τὸν προηλγηκότα 〈τόπον〉 στυπτηρίαν μιγνὺς καὶ ἐλαίου. ἀποτέμνειν ἐπικίνδυνόν ἐστι τὰ σιαλώματα τῆς ἕδρας, κλύζε δὲ σχινίνῳ καὶ δάφνῃ καὶ κυπαρίσσῳ καθεψημένοις ἐν οἴνῳ, καὶ ἐπίχριε τῇ τραυματικῇ, ἥτις κατασκευάζεται οὕτως· * * * Πελαγωνίου πρὸς τὰ τῶν ζῴων κορδυλώματ α . [15]

1090 Τὰ τῶν ζῴων κορδυλώματα θραύσεις τρόπῳ τοιῷδε· ἰοῦ γο β′, χαλκίτεως γο β′, σφέκλης γράμματα γ′ καθεψήσας χρῶ καὶ διαφεύγει τὰ κορδυλώματα. Ἄλλ ο .

1091 Ἄνθους χαλκίτεως γο β′, σφέκλης γο α′, νίτρου γο β′, λάσαρος γο β′, ὄξους δριμέος γο ϛ′. Πρὸς δοθιῆνα ς .

1093 Ἐὰν δοθιῆνας ἔχῃ ἵππος πρὸ [τὸ] τοῦ πυοτροφῆσαι τοῖς τρισὶ δακτύλοις κρατῶν εἰπέ· ἐργάζομαί σ ε . Πρὸς μασχαλῶν πόνον καὶ ἐὰν ἀπὸ τῶν ἀρτηριῶν κάμνῃ τὸ ζῷο ν .

1094 Ἐὰν ἀπὸ τῶν ἀρτηριῶν κάμνῃ τὸ ζῷον, ἕξει τὰ αὐτὰ τοῖς ὀρθοπνοϊκοῖς σημεῖα· ἐξαιρέτως ἡ σόβη σκληρύνεται ἥ τε κεφαλὴ μετὰ τῶν ὤτων κάτω νεύει, τὸ μόριον λέλυται, τὰ ἔντερα ψόφον ποιεῖ, οἱ δίδυμοι φλεγμαίνουσι. τῶν τοιούτων νοσημάτων χολῆς αἰτιότης ἐμποδιζούσης τὴν αἱματικὴν πάροδον. χρὴ τοίνυν ἀπὸ τοῦ σφονδύλου καὶ τοῦ στήθους ἢ καὶ τῶν ὤμων λύειν φλέβας καὶ τῷ αἵματι, ὡς προείπομε ν , ἀποτρίβειν. εἶτα λαβὼν τραγακάνθης < α′, πράσσου < α′, πεπέρεως κόκκους ι′, τὴν τραγακάνθην πρὸ μιᾶς ἀποβρέξας μῖξον ἅπαντα, καὶ λειώσας εἰς οἴνου παλαιοῦ κοτύλην α′, μέλιτος προσβαλὼν διὰ τοῦ ἀριστεροῦ μυκτῆρος ἐπὶ ἡμέρας δ′ καθ’ ἑκάστην ἡμέραν δ′ κυάθους ἔμβαλε περιπατεῖν τε τὸ ζῷον εἰς ὁδὸν πολυκαμπῆ κατανάγκαζε. τὴν κεφαλὴν πολλάκις ὕδατι ζεστῷ πυρίαζε, καὶ συνεχέστερον τὸ πᾶν ἄλειφε καὶ ἀπότριβε. τὸ σῶμα τρῖβε σφοδρότερον, ὥστε τὸ προστετηκὸς τοῖς ὀστέοις ἁπαλυνθῆναι τὸ δέρμα. τροφῇ δὲ τῇ περὶ ὀρθοπνοϊκῶν εἰρημένῃ κεχρήσθω, πόμα δὲ αὐτοῦ ἤτω ὕδωρ, ἐν ᾧ ἄγρωστις καὶ τρίφυλλος ἀφεψεῖται. Πρὸς ἀρχὴν δυσπνοία ς . [15]

1101 Σκώληκας ἀπὸ ἀρτοκοπίου ζ′, οἴνου κυάθους 〈ζ′, ἐλαίου κυάθους β′, ᾠὰ〉 β′, πάντα λειώσας καὶ χλιάνας διὰ τῶν μυκτήρων ἐγχυμάτιζε. Θεομνήστου ἐ φ ’ ᾧ ὑποψίαν ἔχομεν ὅτι ἀπὸ συμπτώματος ἢ κρημνοῦ πέπονθέν τ ι .

1106 Ὅταν ἵππος ἢ ἄλλο ὑποζύγιον εἰς τάφρον ἢ ὄρυγμά τι ἐμπέσῃ καὶ μηδὲν μὲν φαίνηται πληγείς, ὑπονοῶμεν δὲ αὐτὸν ἔνδον τι πεπονθέναι, βοηθήσωμεν οὕτως· ἐγχυματίσωμεν ὀποῦ Κυρηναϊκοῦ ὅσον καρύου Ποντικοῦ μέγεθος δι’ οἴνου κοτυλῶν γ′, ἐγχεῖν δὲ διὰ ῥινῶν, ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέφρας δρυΐνης ἢ πρινίνης ποιεῖν κονίαν στακτὴν καὶ ἐγχυματίζειν τῆς κονίας κοτύλας β′ καὶ οἴνου τὸ ἴσον ἢ 〈ἀ〉 κακίας τῆς πυρρᾶς χυλὸν μετὰ οἴνου ἢ ῥοᾶς ὀξείας μετὰ οἴνου. ὅταν δὲ πεσὼν ἄρξηται τιλᾶν ὑγρά, μὴ θεράπευε. ἔχει γὰρ ἀσώτως. Περὶ παραπλησμάτω ν .

1111 Παραπλήσματα γίνονται ἀπὸ δρόμου πολλοῦ καὶ ἐντόνου. πίμπραται δὲ τὰ ἐμπρόσθια σφυρά, ὥστε δοκεῖν ὑγρασ〈ίασ〉 εἶναι πλήρη ταῦτα· κατάσχασον οὖν τὰ μεσοκύνια 〈καὶ〉 κατάντλει[ν]. ἐὰν μὴ ὠφελῇ, ὑποξέ[α]σας τὸν ἐπηρμένον τόπον χάραξον, τὴν ὑγρασίαν τὴν ἐκ τῶν ἀμυχῶν μὴ ὑποξύων τῇ σπαθομήλῃ, ἵνα μὴ ἐπιρρευματίσῃς, ἀλλὰ μόνον διαφορήσῃς, καὶ ὄξει μετὰ νίτρου κατάβρεχε τοὺς τόπους. τῇ δὲ ἐπιούσῃ χρῶ μαλάγματι τῷ διὰ χαλβάνης. ἢ γὰρ παντελῶς ὑγιάσεις τὰ πεπονθότα ἢ ἐκ πλείονος παρηγορήσεις. Πρὸς τὸ τρίχας λευκὰς οὔσας μελαίνας γενέσθα ι .

1112 Γλυκίζον καλακαβδάκιον, ὄπιον, γλυκύρριζον τὰ ἴσα κόψας ἀναλάμβανε οἴνῳ Ἀμινναίῳ καὶ χρῖε μελιτῶδες ποιήσας. Ἱπποκράτους περὶ τριχῶν ἀγρίω ν .

1113 Ἐὰν τρίχες ἄγριαι ὦσιν ἐν τῇ κέρκῳ, ὄξει ἀλείφων πύκναζε καὶ ἀχράδια καὶ σταφίδια ἄγρια. Περὶ τοῦ ποιῆσαι φάλιον ἵππο ν .

1114 Κατάχρισον ζεστὸν ἐρεγμὸν καθόλου, ἢ γογγύλας καθεψήσας κατάχριε. Περὶ τοῦ τρίχας μελαίνας ποιῆσαι ἵππο υ .

1115 Κηκῖδα ἰατρικὴν εἰς ὄξος τρίψας, εἶτα ἀνιέμενος μύρτον τρίψας ἐπίχριε. Ἵππου πυρροῦ τρίχας λευκὰς ποιῆσα ι .

1116 Στυπτηρίαν ὕδατι λειώσας ἀπότριψον τὰς τρίχας, καὶ λαβὼν ῥοῦν βυρσικὴν φυράσας ἐν ὄξει χρῖσον καὶ ἔσονται. Ἵππου λευκὰς τρίχας ποιῆσαι μελάνα ς .

1117 Ἵππου λευκὰς τρίχας μελάνας ποιήσεις οὕτως· ἄκανθαν, ᾗ οἱ βαφεῖς χρῶνται ἀφεψήσας ἐν ὕδατι στῦψον τὰς τρίχας, καὶ λαβὼν ἢ μελαντηρίαν ἢ χαλκῖτιν χρῖσον, καὶ χάλκανθον δὲ δὸς εἰς τὸ ἔγχρισμα. Ἱπποκράτους περὶ παρατρίμματο ς .

1120 Ἐὰν παράτριμμα γένηται ἐν τοῖς κυνόποσιν ἀπὸ δρόμου ἢ ἀπὸ ἐλασίας, γίνεται δὲ ὡς τάχιστα τοῖς νωτοφοροῦσιν νέοις τε καὶ γοργοῖς. θεράπευε οὖν πυριῶν ἅλμῃ θερμῇ, εἶτα σπόγγους δι’ ὀξυκράτου, καὶ αἷμα ἀφαίρει ἀπὸ τῶν κυνοποδίων, εἶτα σπόγγιον. ἐὰν δὲ ἐπιμείνῃ, κατάπλαττε τῷ αὐτῷ τρόπῳ, 〈ᾧ〉 καὶ τὰ στρέμματα, εἶτα χρήσαι μαλάγματι. ἐὰν δὲ χρόνιον ᾖ, καίειν χρὴ κάγκελλο ν. τὸ δὲ αὐτὸ ποίει καὶ ἐπὶ τῶν παρακερκίδων · 〈ἢ〉 ὀξύγγιον ἐν οἴνῳ μετὰ ἰσχάδων ἔχων βεβρεγμένον ἡμέρας, τοῦτο κατάπλασσε. Περὶ κακοστομαχίας καὶ ἀφρο ῦ .

1121 Ἐὰν δὲ κακοστομαχῇ ἵππος ἢ τῶν ἄλλων ὑποζυγίων, βήσσει δασὺ πολλάκις, ἐνίοτε δὲ καὶ 〈ἀφρὸν〉 ἀναφέρει ἔσωθεν. γίνεται δὲ τοῦτο κατὰ ἐλασίαν. [ἐνίοτε οὖν καὶ ἀφρὸν φέρει]. τῷ οὖν τοιούτῳ χολὴν ταυρείαν μετὰ μέλιτος δίδου μετὰ ὀξυγγίου ὀροβιαῖα [ὀρόβινα], καὶ μέλι καὶ ὀξύγγιον κόψας δίδου κοτύλας γ′. ἀπεχέσθω δὲ ἀπὸ ἀχύρων, παράλληλα δὲ δίδου τὴν πόαν. ποιεῖ δὲ θαυμαστῶς. Περὶ ἰλεώδου ς .

1122 Ἰλεώδης δὲ γίνεται, ὅταν χορτασθῇ 〈καὶ μὴ πέψῃ〉. ἔστιν δὲ κάκιστον τὸ πάθος. [ὅταν χορτασθῇ καὶ μὴ πέψῃ.] γίνεται δὲ ἐν τῷ κώλῳ ὥσπερ λίθος. ὅταν οὖν συμβῇ τὸ πάθος, ῥήσ〈σ〉ει ἑαυτὸν καὶ διεγείρεται πολλὰ καὶ περιπατεῖ, καὶ πάλιν ῥίπτει ἑαυτὸν καὶ συστρέφει ἐπὶ τὴν ῥάχιν καὶ τὰς λαγόνας, στενάζει δὲ διὰ τὴν σύστασιν. τῷ γοῦν τοιούτῳ βοηθεῖν δεῖ οὕτως· ἀλείφειν δεῖ τὴν χεῖρα καὶ καθιεῖν εἰς τὴν ἕδραν καὶ τὰ παρακείμενα κόπρια κόμιζε, τὴν κύστιν δὲ τρῖβε προσηνῶς, ἵνα οὐρήσῃ. οὐδὲ γάρ, ὡς λέγουσ ι , στρέφεται ἡ φῦσα, ἀλλὰ ὁ πόρος ἀποστενοῦται. ἐγχυμάτιζε οὖν λαβὼν κράμβης χυλόν, ἐλαίου κοτύλην μίαν, σελίνου κύαθον ἕνα, ἕψει μετὰ κοτύλης α′ οἴνου καὶ ἑψήσας ἐγχυμάτισον καὶ σύγχριε οἴνῳ καὶ ἐλαίῳ. θερμῷ, 〈καὶ ἐπὶ〉 τὴν ἱππόστασιν ἀνάγκαζε καὶ κλύζε διὰ τῆς ἕδρας οἰνελαίῳ θερμῷ. περιπάτοις δὲ χρῆσαι ἀναβάσεσι καὶ καταβάσεσιν, ἵνα τὰ πνεύματα δύναται τὴν ὑποχώρησιν λαμβάνειν. ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἅπαξ γένηται ὑποχώρησις, ἐλαφρυνθήσεται τοῦ ὄγκου. ἄχυρα οὖν βαλὼν εἰς σάκκον κατάβρεξον ὕδατι θερμῷ καὶ ὑπόδησον ὑπὸ τὰς λαγόνας, καὶ ἀναθερμαίνεται καὶ πᾶσα πυρα, εἰ δυνατόν, ταχύ. ἔστι γὰρ τὸ πάθος ἀναιροῦν. δίδου δὲ καὶ φαγεῖν, ἐὰν λειποθυμήσῃ, ἢ βρόμον ἢ χλωρὸν χόρτον, ἢ τὸν ξηρὸν ῥαίνων ἐν ὕδατι. πότιζε τὸ αὔταρκες. σημεῖα δὲ τὸ ζῷον δίδωσιν, ἐὰν σωτήριος γένηται, εἰ [δὲ] τὰ ὦτα ἐξαφῇ καὶ ἡ πνοὴ αὐτοῦ ᾖ συντεταμένη, καὶ ἀναπνεῖ θερμὸν καὶ ἀφοδεύει· ἐὰν δὲ μὴ σωτήριος ἔσται, σημεῖα ταῦτα· ὁ καυλὸς προεῳγμένος καὶ ἱδρὼς ἐν ταῖς λαγόσι ψυχρὸς καὶ τὸ πνεῦμα ἀραιῶδες, τά τε σκέλη τὰ ἐμπρόσθια ἀποτεταμένα καὶ ψυχρά, καὶ ὁ τράχηλος πεπηγὼς καὶ μυκτὴρ ψυχρός. Περὶ ἰόνθω ν .

1123 Λίβανον μετὰ οἴνου ἐὰν χρήσῃ 〈ἢ〉 Κυρηναῖον ὀπὸν ἢ ὑοσκυάμου καρπὸν ἢ σταφίδα ἀγρίαν 〈θεραπεύσεισ〉 . Περὶ μωλώπω ν .

1124 Ἐὰν ἆραι θέλῃς μώλωπας, βάλε χαλκάνθου τὸ ἀρκοῦν καὶ ἐν ὄξει καθεψήσας καὶ ἀνελόμενος χρῶ τούτῳ, ἢ καὶ θεῖον ἀνάζεσον καὶ κόψας εἰς ὄξος ἀναζέσας ἐπίχριε. Περὶ ἀτροφία ς .

1126 Ἐὰν δὲ μὴ ἐσθίῃ ἵππος πάθει μὴ συνεχόμενος, σκόπει καὶ εὑρήσεις τὴν ζέαν μετέωρον. αἷμα οὖν ἀφαίρει ἀπὸ τῶν οὔλων καὶ παράτριβε ἅλατι καὶ ὀριγάνῳ, καὶ προσδήσας ἄφες αὐτὸν ἀπορρεῖν τὰ φλέγματα. εἶτα ἀποπλύνας τὸ στόμα ἡμέραν α′ μὴ δῷς φαγεῖν. ἐὰν δὲ μὴ καταστῇ, τρῖβε τὴν ζέαν ἅλατι λεπτῷ μεθ’ ἡμέραν. Περὶ σφονδύλο υ .

1127 Ἐὰν δὲ μαδισθῇ 〈παρα〉 ποδιζόμενος ὁ τράχηλος καὶ ὁ σφόνδυλος, φλεβοτόμει τὰς ἀρθρίτιδας φλέβα ς . προστίθει δὲ καὶ νάκιον οἰνελαίῳ ἐμβρέξας, κατάδησον καὶ ἀναδήσας ἔα αὐτὸν φαγεῖν. Ἱπποκράτους ἐὰν φάγῃ ἐλλέβορον ἵππο ς .

1133 Λευκὸν ἐλλέβορον ἐὰν φάγῃ ἵππος, ἔμετοι γίνονται καὶ βήσσει καὶ διαρροΐζεται. Περὶ λαβρότητο ς .

1134 Ἐὰν ἵππος λαβρεύηται ἐν τῷ ἐσθίειν, παράβαλε κυάμους ταῖς κριθαῖς, καὶ ὅπερ ἂν καταλείψῃ ἐν τῇ φάτνῃ, ἔξελε. Περὶ δαμάσεω ς .

1136 Ἐὰν ἵππος τραχὺς ᾖ ἢ ἡμίονος, λαβὼν ψέλλιον χαλκοῦν τὰ περὶ τὸ γένυ τρυπήσας πυρίνῳ κοίνωσον. Περὶ ἐλλεβόρο υ .

1137 Ἐὰν φάγῃ ἐλλέβορον ἵππος, σίδης ὀξείας χυλὸν μῖξον μετὰ ἅλμης, ἢ καρδάμου τὸν καρπὸν καὶ σίδης ὀξείας τὸν χυλὸν μεθ’ ὕδατος χλιαροῦ ἐγχυμάτιζε. Διάγνωσις νόσω ν .

1139 Ἐὰν ἀπὸ κόπου πεσὼν 〈ᾖ〉 ἢ κριθιάσεως ἐχόμενος, ὁτὲ καὶ πυρετοῦ, τοῖς ἔμπροσθεν γεγραμμένοις σημείοις, τὸ ὕδωρ αὐτὸ καθ’ ἑαυτὸ 〈χ〉 λιαίνων ἐν τόπῳ λίαν θερμῷ οὕτω διάτριβε, καὶ διακίνει ἐν σκέπῃ. ἐὰν δὲ βῇ τῇ ῥώμῃ καὶ τῇ δυνάμει, ἐκεῖνα 〈ἀφ〉 εῖναι, καὶ διαίτην ἔχηται. ἐκτροχαζέτω δὲ ὀλίγα, ἐπικαπνεῖν μέλλει, ἐὰν δυνατόν, καὶ ἄχυρα ὑποβεβλήσθω. ἔξω δὲ ἐν τῷ ἁπαλῷ ἢ παρὰ ποταμὸν μᾶλλον περίαγε. ὅταν δὲ ἄρξηται ὑγιὴς γενέσθαι, σημεῖα τάδε· σκιρτᾷ ἐξαγόμενος *** ἐὰν δὲ τούτων μηδὲν ποιήσεται, ὅταν μὴ ἐκπίπτῃ τεχνικῶς, ὡς τάχιστα τέμνε αὐ〈τοῦ〉 τὰς ἀπὸ τοῦ αὐχένος. εἶτά φησιν ὥσπερ ὑγιαίνοντα εὑρεῖν *** προκαλεῖσθαι, καὶ ἔξω ἐξαγαγὼν κόψας πελένδρυον, ἐὰν μὲν ἐνδέχεται, κόψας λείας τὰς κριθὰς ὕδατι ῥαῖνε τὸν χυλόν, καὶ τοῦτο μὲν οὖν, ἐὰν ἐγχωρῇ, τὸ πελένδρυον διέμενον ἔγχεε διὰ τοῦ στόματος. ἐὰν δὲ μὴ δύναται ἐσθίειν ὁ ἵππος, χρὴ ποιεῖσθαι καὶ διδόναι ἐλαιόμελι· ἐπιχλιαίνων ὕδατι ἢ ἅλατι τρίβων ἰσχυρῶς 〈δίδου〉 . Περὶ ἡμιόνω ν .

1140 Τὰ αὐτὰ ἡμίονος οὐ πάσχει ἵππῳ οὔτε ἄρρενι οὔτε θηλείᾳ, ἀλλ’ ὅσῳ περ καὶ ξηρόν [ῥᾷον] ἐστι τὸ σῶμα καὶ αἱ μῆτραι ἀποκέκλεινται ἀπὸ ξηρασίας σαρκός, τοσούτῳ 〈ῥᾷον〉 καὶ τὰ νοσήματα περιμένουσιν. περὶ μὲν ἡμιόνου ἄρρενος καὶ θηλείας ὁρίζων τὴν ἐπιμέλειαν ἔξω ὡς κατὰ τῆς αἰδοῖος λάβῃ, περὶ δὲ συνωμιῶν καὶ χωλασμάτων κατὰ τὸν αὐτὸν λόγον εὐτρέπιζε τῶν ἁπάντων, καὶ τομαῖς καὶ φαρμακείαις ξηραῖς ἀνέχῃ. τούτων μὲν οὖν τῶν νοσημάτων γινώσκεται ἀρχή, ὡς δὴ ἐπάνω γέγραπται. ἐπὰν γὰρ ἡμίονος τὰ ἰσχία ἀφέλκῃ, ταύτης αἱ μῆτραι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφειλκυσμέναι εἰσὶν καὶ ξυσμάτων καὶ αἵματος πολλοῦ. ταύτην καταβαλὼν καὶ τὰ ἰσχία τρίψας καὶ ὑπὸ τὰς λεπίδας ὀπίσω ὑπὸ τὸ ἰσχίον καὶ παρὰ τὴν κέρκον καθείς, εὐθέως τοῦ μέλανος τρῖψον ἀπὸ τοῦ σώματος. εἶτα περίτριψον ἅλας λεῖον οἴνῳ μέλανι κοτύλῃ α′ καὶ εἰς τὰς ῥῖνας ἐμφύσα, ᾠὰ δὲ τρίψας ** παύσῃ ⟨σ⟩ τοῦ θυμοῦ. ἔτι γε μὴν οἴνῳ μέλανι κοτύλῃ α′ ἐγχέειν, καὶ ὕδατι θερμῷ λοῦε πολλῷ τὴν κεφαλήν, εἶτα τὸ σῶμα ὅλον ἀπὸ τῆς κεφαλῆς ἀρχόμενος. ἐὰν δὲ τοῦ ἄλλου σώματός τι χωλεύ ῃ , μηδὲν ταύτας τομὰς τὰς πρότερον εἰρημένας ἐν ταῖς τοῦ ἵππο υ , καύσεις δὲ μὴ πρόσφερε, ἐὰν κεῖται τεταμένο ς . ἐὰν δὲ τομὴν ἔχῃ, καῖε τὰ ἐπὶ τὸν τράχηλον ῥάβους β′ ἑκατέρωθεν. ἐπὶ δὲ τῶν ἄλλων ἀρρωστημάτων τῷ αὐτῷ φαρμάκῳ χρῶ ἐγχύτῳ καὶ πυρία τὸ σῶμα καταχρίων καὶ ἔγχεε κοτύλην α′ μέλανος εὐώδους καὶ εἰς ὀθόνιον ἀπηθήσας οὕτως ἔγχεε εἰς τὸ στόμα καὶ ἔσται ὑγιής. Ἱπποκράτους ἀρωματικὴ βο [ε ]ϊκ ή . [25]

1145 Κόστου, κενταυρίου ἀνὰ γο γ′, ἀψινθίου γο α′, ἴρεως, σελίνου κοινοῦ, κροκομάγματος τὸ ἴσον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org